

ALEXANDROS

TO HELLENIKON PAIDION

Mario Díaz Ávila

E libro *A Greek Boy at Home*
a W.H.D. Rouse conscripto



Cultura Clásica

ALEXANDROS

TO HELLENIKON PAIDION

MARIO DÍAZ ÁVILA

E libro *A Greek Boy at Home*
a W.H.D. Rouse anno 1909 conscripto, nunc aucto
atque multis exercitiis imaginibusque locupletato



CULTURA CLÁSICA
ANNO MMXIV

ALEXANDROS. TO HELLENIKON PAIDION
Scripsit Mario Díaz Ávila
E libro *A Greek boy at Home* a W.H.D. Rouse conscripto

Adiuverunt in scribendo
Ana Mª Ovando Moros
Mercedes Ovejas Arango
Mª Nuria Miguel Gutiérrez
Charles Delattre

Imagines delineaverunt:
Tomás Martín Rubio & Sandra de León López

Pl. de las Américas, 1, 2º B
18500-Guadix (Granada), España
Tel. (+34) 958 044 000
Mov. (+34) 630 586 083
www.culturaclasica.es
culturaclasica@gmail.com

ISBN: 978-84-935798-7-6
Depósito Legal: GR-817/2014

Impreso en España – *Printed in Spain*

Ex officina typographica Gráficas Alhambra

In memoriam Juanvi Santa Isabel

GRATIAE AGENDAE

Ante omnia summas gratias agere volo familiae necessariisque et imprimis Mariae Victoriae uxori, quippe ex quibus singulis et universis plurimos annos benevolentiam et patientiam et auxilium acceperim, dum mole huius laboris impensa opprimerer, ac sine quibus vix fieri potuisset, ut hic liber feliciter ad perfectionem veniret. Locum autem tenet dilectissimum inter familiares Alexander filius, qui tamquam alter Ἀλέξανδρος animum mihi inter fortunam adversam confirmaverit atque ad progrediendum impulerit.

Gratiae quoque mihi agendae sunt maximae Annae Ovando et Mariae a Mercede Ovejas, quas artifices aliquatenus habeam huius operis, post multas disceptationes habitas et risus motos et pocula potionis Arabicae sumpta inter conventicula *Circuli Hellenici* seu Κύκλου Ἑλληνικού. Neque est nomen praetermittendum Nuriae Miguel amicae neque Caroli Delattre, qui mihi subsidiis fuerunt ad scripta, exercitia, pensa omnia corrigenda.

Gratias imo ex corde refero et Thomae Martín et Alexandrae de León, omnium huius libri imaginum artificibus, qui opus mirificum absolverint.

Nec memoriam meam fugiunt nomina Antonii González Amador et Aemilii Canales Muñoz, conditorum consociationis *Cultura Clásica.com* inscriptae, qui huic proposito fuerint haud parvo adminiculo atque auxilio, cum se non solum diligentes emendatores praeberent, sed etiam huius libri in lucem edendi fautores.

Etiam gratiam habeo Ioanni Iosepho Marcos García, auctori typorum quibus nomina sunt 'ALPHABETUM Unicode' et 'UNCIAL de Papiro', qui mihi permiserit ut utroque uterer gratuito, necnon Σπύρῳ Κανιάρει citharistae, qui sonos musicos mihi donaverit, ut huius operis documenta sonora exprimerem.

Tandem aliquando hunc librum memoriae dicamus Ioannis Vincentii ('Juanvi') Santa Isabel, viri amicissimi, nempe *Hermae* nostri, qui nos mortales reliquens ad Olympum transvolavit ad ceteros deos conveniendos. Is quidem fuit magnus mihi fautor qui, etiamsi arte lyrae me non honestavit, occasionem tamen dedit ad opera mea vulganda et nomen meum longe lateque diffudit. Vbicumque es, ὦ Ἑρμῆ, tibi ago *gratias plurimas.*

Tot tantisque amicis, qui animum ad hoc inceptum perficiendum stimulaverint, omnibus gratias ago.

PRAEFATIO

Haec editio, quam manibus tenes, candide lector, rationem sequitur libri anno 1909° editi cui titulus est *The Greek Boy at Home*, Gulielmo H. D. Rouse auctore, cui methodus docendi erat ea quae hodie dicitur 'activa'. Nomen auctoris mihi adscribere in animo nequaquam habeo, sed potius librum illum aptare et pluribus lectoribus notum reddere: nam censemus rationem linguae Graecae docendae mutandam esse pariter ac videmus in studiis Latinis fieri.

Hoc in libro puer Graecus, Alexander nomine Acharnis oriundus, antiquae Greciae humanitatem et historiam nobis monstrat, dum vitam suam narrans discipulum delectat simulque docet linguam cultumque civilem Graecorum.

Linguae autem forma in libro adhibita ad nullum certum aevum pertinet, quamvis sermonis Attici similior sit in capitulis posterioribus, unde fieri potest ex initio invenire elementa linguae Atticae sed etiam ad *Septuagintam* et communem dialectum quae dicitur *koiné* attinentia. Quae sermonis generum varietas diversitati respondet auctorum, quorum locos sumpsimus: Homeri videlicet, Hesiodi, Herodoti, Aeschyli, Platoni, Demosthenis, Aristotelis, Menandri, Philinae Thessaliae, Aesopi, Dionis Chrysostomi, Aeliani, scriptorum fabularum Milesiarum, qui omnes huic editioni accomodati sunt, ut magister Rouse ipse dixit, *magna cum libertate.*

Etiam una cum institutore Rouse lectores moneo: qui putent sermonem Atticum tantummodo teneris iuventutis labris enuntiandum esse, eis me quidem non satisfacere; me enim censere lingua auctorum, qui vel ante saeculum quintum quartumve a.C.n. vel postea scripserint, inquinari non posse voluptatem, quae ex studio sermonis cultusque civilis Graecorum exoriatur.

Sua cuique capitulo imago est, quae narrationem sic prae se fert totam vel ex quadam parte, ut, ea spectata descriptaque, ad intelligentiam fabulae adiuvet. Ceterum vocabula nova in margine paginae illustrata sunt sive parvis imaginibus sive verbis similibus contrariisve, sive circumlocutione quadam, idque secundum rationem didascalicam ab Iohanne Ørberg in opere *Lingua Latina per se illustrata* inscripto usurpatam. Sin autem magistro necessarium sit, licet aliis adminiculis inniti, ut arte mimetica vel etiam Graecis explanationibus, prout lectio progreditur, sed vitemus, quantum possimus, ne verbum ullum in sermonem vulgarem et hodiernum vertamus.

QVOMODO LIBER SIT ADHIBENDVS

I.- DE LECTIONE: Hic liber ita instructus est, ut lectores facile legere idque quam potissimum viva voce possint necnon ut magistri praelectiones a discipulis melius capiantur. Quare librum existimamus haud idoneum esse eis qui per se ipsos et sine magistro discere velint.

Primum spectanda est cuiusque capituli imago sua primaria eaque verbis describenda; postea legendum est viva voce capitulum. Si opus fuerit, magistro licet gesticulatis motibus vel arte mimica uti aut quolibet adiumento, quod ei subveniat ad omnia melius patefacienda; etiam, pro sua quisque facultate, magister potest eadem brevibus sententiis Graece explicare.

Deinde monemus ut magister discipulos interrogationibus excitet et exploret quid mente perceperint indeque eos roget capitulum iterum legere silentes. Huiuscemodi enim discipuli in locum legendum attentius incumbent ac scriptum multo facilius intelligent.

Postremo, exercitiis absolutis, ad tertiam lectionem discipulos hortamur, qua quisque comprobet, quatenus totum capituli sensum ceperit.

In initio discipuli linguam forsan lente discent, sed, cum nova et multa vocabula memoriae mandaverint, celerius progredientur atque optimum sermonis usum habebunt.

II.- DE EXERCITIIS: Vt lectio, ita quidem exercitia sunt maximi momenti, quia ad vocabula et artem grammaticam referuntur, quibus simul discipuli ad altiores gradus paulatim ascendunt. Genera exercitiorum quattuor sunt:

α′.- 'Scripta intelligamus': In initio huius exercitii imaginem *tabulae* sive τοῦ πινακίου ( ) semper videbimus. Interrogatis est a discipulis respondendum sententiis plenis potius quam uno tantum aut duobus verbis. Responsa licet inveniri et repeti eadem quae in capitulo lecto insunt, paucis vel minimis verbis mutatis.

β′.- 'Vocabula' – Ἐν τῇ γλώττῃ σου: Ante hoc exercitio apparet imago Athenae ( ). Cuius propositum est vocabula ediscere et etymologiae ope memoriae mandare.

γ′.- 'Grammatica': Exercitia, quae multa nuntiantur imagine *capsae* duos papyros continentis ( ), spectant ad rudimenta grammatica, quae in

capitulo docentur. Quorum nonnulla annotationes grammaticas praebent breves et compendiosas ad rem patentius expeditiusque tractandam. Sin autem necessarium sit, liceat partem libri finalem evolvere arti grammaticae dicatam.

δ'.- 'Dicta intelligamus': Imago apparet hominis loquentis ( ). Hoc in exercitio locum iam lectum inveniemus denuo elaboratum. Nulla vocabula nova addita sunt, excepto aliquando uno alterove, quod non obstabit quominus totum exercitium cogitatione comprehendatur. Cuius propositum est facultatem augere verba dicta auribus percipiendi, quae tanti momenti habemus quanti alias facultates ad quamlibet linguam callendam idoneas. Hoc exercitium conducet tam vocabulis quam compagibus verborum adhibendis, denique sermoni exercendo modo qui dicitur 'activo', nequaquam 'passivo'.

At quamquam nihil ulla in libri pagina de loquendi scribendique facultatibus dicimus, hoc tamen quoque magni ponderis habendum est. Hortamur enim ut discipuli narratiunculas scribant de locis recens lectis, videlicet de familia, de domo, de rebus cotidianis, et ita porro. Curandus est modus scribendi ideoque ex initio oportet notas spiritus atque accentus poni. Quod principio discipulis difficilius esse videbitur, dein vero illi pedetemptim verba recte scribent syllabasque acuent. Suadeo igitur ut regulae paucae praecipuaeque ad syllabas acuendas discipulis tradantur, quamquam eis opitulabitur locos iam scriptos legere atque inspicere. Etiam vocabula eadem et compages verborum identidem dicere proderit, ut discipuli memoriae mandent in quibus syllabis verborum ponendi sint spiritus atque accentus.

Magister quoque debet animos discipulorum accendere, ut ex tempore inter sessiones scholasticas viva voce colloquantur. Nam variae et diversae facultates ad linguam ratione naturali discendam sic exercentur.

Tandem animadvertendum est: magistrum quasi choragum esse, qui discipulos incitat ad partes agendas primas in sessionibus scholasticis, tamquam si adulescentuli deducerentur in scaenam.

Marius Díaz dixit Valentiae,
a.d. III Kal. Apr. a. 2014

Alexandra Ramos ex sermone Hispanico
in Latinum vertit Gadibus, Kal. Apr. a. 2014

AGRADECIMIENTOS

En primer lugar, me gustaría agradecer a mi familia, especialmente a mi mujer Mariví, la comprensión, la paciencia y el apoyo recibido a lo largo de todos estos años de trabajo; sin ellos me habría resultado muy difícil llevar a buen fin la realización de este libro. Mención especial para mi hijo, Alejandro, fuente de inspiración y de ánimos en los momentos más difíciles.

También un agradecimiento muy especial a Ana Ovando y a Mercedes Ovejas, porque ellas son artífices también de esta obra, tras muchos debates, risas y unos cuantos cafés en las reuniones del Κύκλος Ἑλληνικὸς. No me puedo olvidar tampoco de mi amiga Nuria Miguel ni de Charles Delattre, que me han ayudado a corregir los textos, las anotaciones, los ejercicios…

Un sincero agradecimiento a Tomás Martín y Sandra de León, los creadores de todas las ilustraciones, porque han hecho un trabajo magnífico.

Cómo me puedo olvidar de Antonio González Amador y de Emilio Canales Muñoz, miembros fundadores de la Asociación Cultura Clásica.com, que han logrado llevar adelante este proyecto mediante su apoyo y su ayuda en correcciones y revisiones, posibilitando así la publicación de este libro.

Me gustaría hacer extensible mi gratitud a Juan-José Marcos García, creador de las dos fuentes griegas utilizadas en la elaboración de este libro: ALPHABETUM Unicode y UNCIAL de Papiro, que me ha cedido de forma totalmente gratuita. Del mismo modo, quiero agradecer al músico Σπύρος Κανιάρης el hecho de haber cedido su música para la elaboración de los audios de este libro.

Por último, este libro está dedicado a la memoria de nuestro gran amigo Juanvi Santa Isabel, nuestro *Hermes*, que dejó el mundo de los humanos para reunirse con el resto de los dioses en el Olimpo. Él fue mi gran promotor. No me dio el arte de la lira, pero me dio la oportunidad de dar a conocer mi trabajo. Fue él quien llevó mi nombre por lugares recónditos. Allí donde estés, ὦ Ἑρμῆ, *gratias plurimas*.

Y a tantos y tantos amigos que me han animado a llevar adelante este proyecto.

A todos ellos, muchas gracias.

PRÓLOGO

Esta edición está basada en el libro *The Greek Boy at Home* de W.H.D. Rouse, publicada en el año 1909, que sigue una metodología activa. No pretendo pasar por su autor, sino que mi intención al adaptarla es la de acercar esta obra al mayor público posible ante la necesidad de un cambio metodológico en la enseñanza del griego antiguo, en la misma línea que se está haciendo desde hace unos años con la del latín.

En la presente edición Alejandro, un niño griego oriundo de Ἀχαρναί, nos muestra la aspectos de la cultura e historia de la Grecia antigua a través de su propia vida, pretendiendo agradar al estudiante, al mismo tiempo que éste aprende la lengua y la cultura griegas.

El tipo de lengua utilizada en la elaboración de los textos no corresponde a ninguna etapa concreta del griego, si bien tiende a la lengua ática conforme avanza el libro. Por tanto, se pueden encontrar desde el principio elementos lingüísticos de la *Septuaginta*, de un griego koiné y, lógicamente, elementos aticistas. La razón de esta variedad lingüística atiende a la variedad de autores utilizados para elaborar los textos: Homero, Hesíodo, Heródoto, Esquilo, Platón, Demóstenes, Aristóteles, Menandro, Filina, Esopo, Dión Crisóstomo, Eliano y los novelistas, todos ellos tratados, como dice el propio Rouse, *de forma libre*.

Siguiendo las palabras de Rouse, advierto que "aquellos que piensan que sólo el ático debe ser pronunciado por los tiernos labios de la juventud no serán satisfechos; por mi parte, no creo que el griego de otros autores anteriores o posteriores a la época clásica griega puedan contaminar el gusto de nadie por esta lengua y su cultura".

Cada texto está introducido por una ilustración que representa la totalidad de la narración o un fragmento de ésta; así pues, la visualización y el comentario de las imágenes ayudarán a la comprensión del texto. Por otra parte, según va apareciendo vocabulario nuevo, la explicación de su significado aparece en el margen bien mediante una imagen, bien con un sinónimo o antónimo, bien con una explicación en griego, siguiendo los principios metodológicos establecidos por Hans Ørberg en su obra *Lingua Latina per se illustrata*. En caso de necesidad, el profesor puede apoyarse en otros recursos como la mímica o la

explicación en griego, conforme se avanza en el libro, intentando siempre no utilizar la traducción.

USO DEL LIBRO

I.- LECTURA: El libro está elaborado para ser leído, a poder ser en voz alta, y para seguir unas explicaciones por parte del profesor. En principio, no está pensado para un público autodidacta.

En primer lugar, tras la observación y comentario de la imagen principal, se debe pasar a una primera lectura del texto en voz alta. Si es necesario, el profesor puede gesticular, utilizar la mímica o cualquier otro recurso para la mejor comprensión; incluso, según el nivel adquirido, se pueden hacer pequeñas explicaciones en un griego sencillo.

A continuación, se recomienda hacer un comentario en clase sobre aquello que se ha entendido. Tras esto, es aconsejable que los alumnos hagan una segunda lectura para sí mismos. De este modo, prestarán más atención al texto y lograrán comprenderlo mucho mejor.

Finalmente, después de los ejercicios se debe hacer una tercera lectura, en la que el alumno comprobará que entenderá la totalidad o prácticamente la totalidad del texto.

Como es de esperar, la evolución en el aprendizaje de la lengua griega es lenta al principio, pero poco a poco, al mismo tiempo que el alumno va adquiriendo un corpus de vocabulario importante, se avanza más rápido y se logra un buen nivel de la lengua.

II.- EJERCICIOS: La realización de los ejercicios es tan esencial como la lectura, porque atienden a cuestiones de vocabulario y de gramática, que ayudan a adquirir un mejor nivel de la lengua. Los ejercicios se articulan en cuatro tipos:

α'.- Comprensión del texto: este ejercicio siempre está encabezado por una tablilla o πινακίον ( ). La respuesta a cada pregunta se debe contestar con frases enteras y no sólo con una o dos palabras. Normalmente, las respuestas pueden extraerse tal cual del texto sin hacer apenas variaciones.

β′.- Vocabulario – Ἐν τῇ γλώττῃ σου: con este ejercicio, encabezado por una imagen de Atenea ( ), se pretende trabajar el vocabulario a través de la etimología.

γ′.- Gramática: es la mayoría de ejercicios propuestos, representados por una *capsa* con dos papiros ( ). A través de estos ejercicios se presentan aspectos gramaticales que aparecen en el texto. En algunos de ellos aparecen una mínima anotación gramatical necesaria sin hacer mayor hincapié. Sólo si es necesario, se puede acudir a la parte de la gramática del final del libro.

δ′.- Comprensión oral: está encabezado por un rostro hablando ( ). Este ejercicio es la reelaboración, generalmente, del texto principal. No se suele incorporar vocabulario nuevo, excepto en algún caso, aunque no interfiere en su comprensión. La finalidad es adquirir también la competencia de la Comprensión oral, tan importante como el resto en el estudio de cualquier lengua. Esto ayuda a tener activo el vocabulario y las estructuras gramaticales, en definitiva, a asimilar la lengua de forma activa y no de forma pasiva.

Por otra parte, aunque no se recoge en ningún apartado del libro, es igual de importante la reproducción de textos, tanto a nivel escrito como a nivel oral. Se recomienda la realización de redacciones siguiendo el texto, como por ejemplo: describir tu familia, tu casa, qué haces cada día… Se debe prestar especial cuidado en la reproducción escrita e incluir desde un principio espíritus y acentos. Al principio es costoso, pero poco a poco se llega a escribir y acentuar correctamente. Aconsejo dar al alumno unas normas básicas para la acentuación, aunque la misma observación de los textos permite lograrlo. Es, además, la repetición del mismo vocabulario y estructuras lo que permite fijar en la memoria el tipo de espíritu y acento.

Además, el profesor debe animar a los alumnos a hablar en el aula mediante diferentes actividades orales. De este modo, se trabajan las diferentes competencias para la adquisición de una lengua.

Finalmente, debo decir que el profesor es el guía del alumno, el encargado de animarlo a participar activamente en las clases.

Mario Díaz

Valencia, 30 de marzo de 2014

ΑΝΑΓΡΑΦΙΟΝ

ΑΛΕΞΑΝΔΡΟΣ

ΤΟ ΕΛΛΗΝΙΚΟΝ ΠΑΙΔΙΟΝ


Βυζάντιον
Θερμοπύλαι
ΕΥΒΟΙΑ
Δελφοί
ΒΟΙΩΤΙΑ
Ἐρέτρια
ΠΕΡΣΙΣ
ΙΩΝΙΑ
Πλαταιαί
Μέγαρα
Ἀχαρναί
Πελοπόννησος
Σαλαμίς
Ἀθῆναι
Ἔφεσος
Ὀλυμπία
Αἴγινα
ΑΤΤΙΚΗ
Μίλητος
ΛΑΚΩΝΙΑ
ΜΕΣΣΗΝΙΑ
Σπάρτη
Ἁλικαρνασσός
ΚΡΗΤΗ
ΕΛΛΑΣ

Ο ΑΛΦΑΒΗΤΟΣ (α′)

Α α

ἆ ἀεί αἶα

Ε ε			**Η η**		
ἔ	ἔα	εὖα	ἤ	ἦα	ἠοῖος
Ι ι			**Υ υ**		
ἴα	ἰαί	ἰαῦ	ὗ	υἱός	ὕει
Ο ο			**Ω ω**		
ὁ	ὀᾶ	οἰκία	ὦ	ᾠή	ᾠδή

ΟΥ ου

οὐ οὗ οὐαί

Β β			**Γ γ**		
βία	βαβαί	βοῦς	γῆ	γαῖα	Γίγας
Δ δ			**Ζ ζ**		
δεῖ	διά	δαδίς	ζάω	Ζεύς	ζωή
Θ θ			**Κ κ**		
θεία	θεός	Θῆβαι	καί	κάδος	κῦβος
Λ λ			**Μ μ**		
λάθος	λέγω	λόγος	μάμμη	μέγα	μῦς
Ν ν			**Ξ ξ**		
ναί	ναῦς	νέος	ξένος	ξύλον	ξανθός
Π π			**Ρ ρ**		
ποῦ	πύξ	παῖς	Ῥέα	ῥεῦμα	ῥίς
Σ -σ-/-ς			**Τ τ**		
σάκος	σεισμός	σῶμα	ταῦρος	τέκνον	τόπος
Φ φ			**Χ χ**		
φεῦ	φέρω	φίλος	χαῖρε	χάος	χείρ
Ψ ψ					
ψαλίς	ψυχή	ψευδῶς			

Α α	ἄλφα
Β β	βῆτα
Γ γ	γάμμα
Δ δ	δέλτα
Ε ε	ἒ ψιλόν
Ζ ζ	ζῆτα
Η η	ἦτα
Θ θ	θῆτα
Ι ι	ἰῶτα
Κ κ	κάππα
Λ λ	λάμβδα
Μ μ	μῦ
Ν ν	νῦ
Ξ ξ	ξῖ
Ο ο	ὂ μικρόν
Π π	πῖ
Ρ ρ	ῥῶ
Σ σ/ς	σῖγμα
Τ τ	ταῦ
Υ υ	ὖ ψιλόν
Φ φ	φῖ
Χ χ	χῖ
Ψ ψ	ψῖ
Ω ω	ὦ μέγα

Προσῳδία

ἡ ὀξεῖα·	ά
ἡ βαρεῖα·	ὰ
ἡ περισπωμένη·	ᾶ

ψιλὸν πνεῦμα	δασὺ πνεῦμα
᾿ = Ø	῾ ↔ ᾿

Ἄφωνα	Δασὴ σύμφωνα
τ	θ
π	φ
κ	χ

ΑΛΦΑ
ΒΗΤΑ
ΓΑΜΜΑ
ΔΕΛΤΑ
Ε ΨΙΛΟΝ
ΖΗΤΑ
ΗΤΑ
ΘΗΤΑ
ΙΩΤΑ
ΚΑΠΠΑ
ΛΑΜΒΔΑ
ΜΥ
ΝΥ
ΞΙ
Ο ΜΙΚΡΟΝ
ΠΙ
ΡΩ
ΣΙΓΜΑ
ΤΑΥ
ΥΨΙΛΟΝ
ΦΙ
ΧΙ
ΨΙ
Ω ΜΕΓΑ

ΑΣΚΗΣΕΙΣ



Α΄. Γράψον τὰ γράμματα.

Α α ______ Β β ______
Γ γ ______ Δ δ ______
Ε ε ______ Ζ ζ ______
Η η ______ Θ θ ______
Ι ι ______ Κ κ ______
Λ λ ______ Μ μ ______
Ν ν ______ Ξ ξ ______
Ο ο ______ Π π ______
Ρ ρ ______ Σ σ ς ______
Τ τ ______ Υ υ ______
Φ φ ______ Χ χ ______
Ψ ψ ______ Ω ω ______



Β΄. Γράψον πάλιν τὰς λέξεις.

βιβλίον ______ ἀδελφός ______
τέκνον ______ ὑψηλός ______
χωρίον ______ ἀγρός ______
κῆπος ______ ξένος ______
ζῷον ______ ὀρνίθιον ______



Γ'. Γράψον μεγάλοις γράμμασιν.

ἀδελφή ΑΔ_____ τροφός _________

οἰκία _________ ὑψηλός _________

ξένος _________ ἄμπελος _________



Δ'. Γράψον μικροῖς γράμμασιν.

ΚΕΦΑΛΗ ________ ΟΡΝΙΘΙΟΝ ________

ΔΕΝΔΡΟΝ ________ ΑΓΓΕΛΟΣ ________

ΤΡΑΠΕΖΑ ________ ΞΥΛΟΝ ________



Ε'. Ἐν τῇ γλώττῃ σου.

ἄλφα + βῆτα δέλτα + εἶδος

ἰῶτα + -κ-ισμός σῖγμα + εἶδος



ΣΤ'. Τί ἀκούεις;

λόγος - λόφος σῆμα – θέμα

ἀμφί - ἀντί πολύς – πόλις

σῦκα - σῆκα ἦ - ᾗ

κῦμα - κώμη θάνατος – θνητός



Ζ'. Ἄκουσον καὶ γράψον.

…ό…ος …ολ…ς …έρ…α

φ…σ…ς π…ά…ις …έμα

λό…ο… ὀ…έ …όσ…ο…

…ῷο… …ω…ή …ρό…λη…α

Τὰ σήματα τῆς στίξεως

ἡ τελεία στιγμή·

Χαῖρε.

ἡ μέση στιγμή·

Πάτροκλος· Χαίρετε.

ἡ ὑποστιγμή·

Χαῖρε, ὦ Ἀλέξανδρε.

ἡ ὑπερτελεία στιγμή·

Τί ὄνομά σοί ἐστιν;

σύ χαῖρε ↔ ἔρρωσο

ὑμεῖς χαίρετε ↔ ἔρρωσθε

Τί ὄνομά σοί ἐστιν;

Τὸ ὄνομά μοι ... ἐστιν.

μοι < ἐγώ

σοι < σύ

αὐτῷ < αὐτός : οὗτος

αὐτῇ < αὐτή

ἡμῖν < ἡμεῖς : ἐγὼ καὶ οὗτος


ὑμῖν < ὑμεῖς : σὺ καὶ οὗτος

Ποῦ οἰκεῖς;

Ἐγὼ οἰκῶ ἐν ...

✓ ναί ↔ οὐχί ✗

οἰκῶ ↔ οὐκ οἰκῶ



ΤΙΣ ΕΙ ΣΥ; (β')

Πάτρ.· Χαίρετε.

Ἀλέξ.· Χαῖρε. Ἐγώ εἰμι Ἀλέξανδρος. Τίς εἶ σύ;

Πάτρ.· Ἐγώ εἰμι Πάτροκλος. Τί ὄνομά σοί ἐστιν;

Ἑλ.· Χαῖρε. Τὸ ὄνομά μοι Ἑλένη ἐστίν.

Πάτρ.· Τί ὄνομα ὑμῖν ἐστιν;

Ἀλέξ.· Τὸ ὄνομά μοι Ἀλέξανδρός ἐστιν. Καὶ τὸ ὄνομα αὐτῇ Ἑλένη ἐστίν.

Ἑλ.· Ναί. Ἐγὼ Ἑλένη εἰμὶ καὶ οὗτος Ἀλέξανδρός ἐστιν. Ἡμεῖς οὖν ἐσμὲν Ἑλένη καὶ Ἀλέξανδρος.

Ἀλέξ.· Ὦ Πάτροκλε, ποῦ οἰκεῖς;

Πάτρ.· Ἐγὼ οἰκῶ ἐν τῇ Σπάρτῃ. Ἆρα σὺ καὶ οἰκεῖς ἐν τῇ Σπάρτῃ;

Ἀλέξ.· Οὐχί. Ἐγὼ οὐκ οἰκῶ ἐν τῇ Σπάρτῃ, ἀλλὰ ἐν τῇ Ἀττικῇ, ἐν ταῖς Ἀθήναις. Ἡ Ἑλένη καὶ οἰκεῖ ἐν ταῖς Ἀθήναις.

Πάτρ.· Ἔρρωσθε.

Ἀλ/Ἑλ· Ἔρρωσο.



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί ὄνομα αὐτοῖς ἐστιν;

Ἀλέξανδρος, Ἑλένη καὶ Πάτροκλος.

α'. Τί ὄνομα αὐτῇ ἐστιν;

β'. Ποῦ οἰκεῖ ὁ Πάτροκλος;

γ'. Ποῦ οἰκεῖ ὁ Ἀλέξανδρος;

δ'. Ποῦ οἰκεῖ ἡ Ἑλένη;

ε'. Ποῦ εἰσιν αἱ Ἀθῆναι;



Β΄. Ἐν τῇ γλώττῃ σου.

ὄνομα + -(στ)ικα	ἀν- + ὄνομα
σύν + ὄνομα	ἀντί + ὄνομα

ΓΡΑΜΜΑΤΙΚΗ

Προσωπικαὶ ἀντωνυμίαι

ἐγώ
σύ
αὐτός, αὐτή, αὐτό : οὗτος, αὕτη, τοῦτο

ἡμεῖς
ὑμεῖς
αὐτοί, αὐταί, αὐτά : οὗτοι, αὗται, ταῦτα
[§ V.2.]



Γ΄. Πλήρωσον τοὺς διαλόγους·

ἐγώ, σύ, αὐτός, αὐτή, ἡμεῖς.

. Ἐγώ εἰμι Ἀλέξανδρος.

α΄. ______ ἐν ταῖς Ἀθήναις οἰκῶ.

β΄. ______ ἐστιν Ἑλένη.

γ΄. Τίς εἶ ______ .

δ΄. ______ οἰκεῖ ἐν τῇ Σπάρτῃ.

ε΄. ______ ἐσμεν Ἀλέξανδρος καὶ Ἑλένη.



Δ΄. Πλήρωσον τοὺς διαλόγους.

Α. Χαῖρε. Τί ὄνομά σοί ἐστιν;

Β. ______. Τὸ ὄνομά ______ Πάτροκλός ἐστιν.

Α. ______ οἰκεῖς;

Β. Ἐγὼ ______ ἐν τῇ Σπάρτῃ.

Α. ______ εἶ ______ ;

Β. Ἐγώ ______ Ἑλένη.



Ε'. Πλήρωσον τοὺς διαλόγους·

ναί, οὐχί.

Α. Ἆρ' ἐστὶν αὐτὸς Ἀλέξανδρος;

Β. Ναί. Αὐτός ἐστιν Ἀλέξανδρος.

Α. Ἆρα σὺ οἰκεῖς ἐν τῇ Σπάρτῃ;

Β. ______ . Ἐγὼ οὐκ οἰκῶ ἐν τῇ Σπάρτῃ, ἀλλὰ ἐν ταῖς Ἀθήναις.

Α. Ἆρα σὺ εἶ Ἑλένη;

Β. ______ . Ἐγώ εἰμι Ἑλένη.



ΣΤ'. Σύναψον μίᾳ φράσει.

. **Ἐγώ εἰμι ...** →	. ἐσμέν.
. Ἀλέξανδρος καὶ Ἑλένη...	. **Πάτροκλος.**
. Ὁ Πάτροκλος οἰκεῖ...	. οἰκοῦμεν.
. Ἐν ταῖς Ἀθήναις...	. Ἑλένη.
. Τὸ ὄνομα αὐτῇ ἐστιν...	. ἐν τῇ Σπάρτῃ.

ΛΕΞΕΙΣ

ὄνομα (τό)
ἐγώ
σύ
αὐτός, ή, ό
οὗτος, αὕτη, τοῦτο
ἡμεῖς
ὑμεῖς
ὁ, ἡ, τό
τίς, τί
χαῖρε, χαίρετε
εἰμί
ἔρρωσο, ἔρρωσθε
οἰκῶ
ἐν
ἀλλά
καί
ἆρα
ναί
οὐκ
οὐχί
ποῦ
ὦ



Ζ'. Πλήρωσον τὸν διάλογον.

Ἀλέξ.· Χαῖρε. Τίς εἶ σύ;

Πάτρ.· Χαῖρε. Ἐγώ ______ Πάτροκλος.
______ ὄνομά σοί ἐστιν;

Ἀλέξ.· Τὸ ὄνομά μοι Ἀλέξανδρός ______.

Πάτρ.· Τί ______ αὐτῇ ἐστιν;


Ἀλέξ.· ______ ὄνομα αὐτῇ Ἑλένη ἐστίν.
Ὦ Πάτροκλε, ______ οἰκεῖς;

Πάτρ.· Ἐγὼ ______ ἐν τῇ Σπάρτῃ. Ἆρα
______ καὶ οἰκεῖς ______ τῇ Σπάρτῃ;

Ἀλέξ.· Οὐχί. ______ οὐκ οἰκῶ ἐν τῇ
Σπάρτῃ, ἀλλὰ ἐν ταῖς Ἀθήναις.

Πάτρ.· Ἔρρωσο.

Ἀλέξ.· Ἔρρωσο.




ΤΙΣ ΕΙΜΙ ΕΓΩ; (α΄)

Ἐγώ εἰμι Ἑλληνικὸν παιδίον καὶ οἰκῶ ἐν ἀγροῖς. Ἐν τοῖς ἀγροῖς ὁ Φίλιππος γεωργός ἐστιν· αὐτὸς γεωργεῖ καὶ ἔχει χωρίον.

Ἆρ᾽ ἐρωτᾷς τίς μὲν ἐγώ, τίς δ᾽ ὁ Φίλιππος; Λέγω δή· ἐγὼ μέν εἰμι τέκνον τοῦ Φιλίππου, οὗτος δὲ πατήρ μού ἐστιν. Καὶ ὁ Φίλιππος ἔχει ἄλλα τέκνα· ἐγώ εἰμι τέκνον αὐτοῦ καὶ ἔχω ἀδελφόν τε καὶ ἀδελφήν.

Ἐγὼ μὲν Ἀλέξανδρός εἰμι, ὁ δ᾽ ἀδελφός μου Στέφανός ἐστι, ἡ δ᾽ ἀδελφή μου Ἑλένη. Ὀνομάζουσιν οὖν ἐμὲ μὲν Ἀλέξανδρον, τὸν δ᾽ ἀδελφὸν Στέφανον, τὴν δ᾽ ἀδελφὴν Ἑλένην.

Ἆρ᾽ οὐ δῆλον; Τὸ μὲν ὄνομά μοι Ἀλέξανδρός ἐστι, τὸ δ᾽ ὄνομα τῷ ἀδελφῷ



ἐγὼ οἰκῶ ἐν τοῖς ἀγροῖς



ὁ Φίλιππος γεωργός ἐστι καὶ γεωργεῖ τὸ χωρίον.

τὸ τέκνον : τὸ παιδίον
τὰ τέκνα

ἐγώ < μου

τὸ τέκνον αὐτοῦ : τὸ τέκνον τοῦ Φιλίππου

Τὸν ἀδελφὸν Στέφανον ὀνομάζουσιν.
Τὴν ἀδελφὴν Ἑλένην ὀνομάζουσιν.

ἡ μήτηρ ἡμῶν = ἡ μήτηρ μου καὶ τοῦ Στεφάνου καὶ τῆς Ἑλένης

αὕτη : αὐτή

Στέφανός ἐστι, τὸ δ' ὄνομα τῇ ἀδελφῇ Ἑλένη ἐστίν. Ἡμεῖς οὖν ἐσμὲν τέκνα τοῦ Φιλίππου καὶ τῆς Εὐρυδίκης. Αὕτη δὲ μήτηρ ἡμῶν ἐστιν.

Ἔστι μὲν γὰρ ὁ Φίλιππος πατὴρ, ἡ δὲ Εὐρυδίκη μήτηρ, ὁ δὲ Στέφανος ἀδελφὸς, ἡ δὲ Ἑλένη ἀδελφὴ, ἐγὼ δέ εἰμι Ἀλέξανδρος.

Λέγω οὕτως, ἐπειδὴ σὺ οὐκ εἶ Ἑλληνικὸν παιδίον.



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ποῦ οἰκεῖ ὁ Ἀλέξανδρος;

Ἐν τοῖς ἀγροῖς ὁ Ἀλέξανδρος οἰκεῖ.

α'. Τίς ἐστιν ὁ Φίλιππος;

β'. Τί ἔχει ὁ Φίλιππος;

γ'. Ποῦ γεωργεῖ ὁ Φίλιππος;

δ'. Πῶς ὀνομάζουσι τὰ τοῦ Φιλίππου τέκνα;

ε'. Διὰ τί ὁ Ἀλέξανδρος λέγει οὕτως;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. παιδίον

ὀρθός + παιδίον	παιδίον + ἰατρός
λόγος + παιδίον	παιδίον + ἀγωγός

β'. αὐτός

αὐτός + γράφω　　αὐτός + νόμος

αὐτός + κράτος　　αὐτός + βίος + γράφω



Γ'. Πλήρωσον ταῖς καταλήξεσι.

. Ἐγώ εἰμι Ἑλληνικὸν παιδίον καὶ οἰκῶ ἐν ἀγροῖς.

α'. Ὁ Φίλιππ___ γεωργ___ ἐστι καὶ ἔχ___ χωρίον.

β'. Ἐγώ εἰμι τέκν___ τοῦ Φιλίππ___ .

γ'. Τὸ ὄνομα τῷ ἀδελφ___ Στέφαν___ ἐστιν.

δ'. Τὸ ὄνομα τῇ ἀδελφ___ Ἑλέν___ ἐστίν.

ε'. Ἐσμὲν τέκν___ τοῦ Φιλίππ___ καὶ τῆς Εὐρυδίκ___.



Δ'. Ἐπεῖπε ὀρθῶς.

. Τὸ Ἑλληνικὸν παιδίον ἐστιν...

α'. Φίλιππος　β'. χωρίον　(γ'.) Ἀλέξανδρος

α'. Ὁ Φίλιππός ἐστι...

α'. παιδίον　β'. γεωργός　γ'. χωρίον

β'. Ὁ Φίλιππος ἔχει...

α'. ἀδελφόν　β'. τέκνον　γ'. χωρίον

γ'. Τίς ἐστιν ὁ Στέφανος;

α'. ἀδελφός　β'. γεωργός　γ'. πατήρ

ΓΡΑΜΜΑΤΙΚΗ

ἀρσενικόν	θηλυκόν	οὐδέτερον
ὁ -ος	ἡ -η	τὸ -ον
τὸν -ον	τὴν -ην	
τοῦ -ου	τῆς -ης	τοῦ -ου
τῷ -ῳ	τῇ -ῃ	τῷ -ῳ
		τὰ -α

[§ III.1.2.]

Ὁ ἐνεστὼς χρόνος

ἐγὼ	εἰμί	ἔχω	οἰκῶ
σὺ	εἶ		
οὗτος / αὕτη / τοῦτο / ταῦτα	ἐστίν	ἔχει	οἰκεῖ
ἡμεῖς	ἐσμέν		

[§ VII.1.]

ΛΕΞΕΙΣ

ἀγρός (ὁ)
ἀδελφή (ἡ)
ἀδελφός (ὁ)
γεωργός (ὁ)
μήτηρ (ἡ)
παιδίον (τό)
πατήρ (ὁ)
τέκνον (τό)
χωρίον (τό)
ἄλλος, η, ο
δῆλος, η, ον
Ἑλληνικός, ή, όν
γεωργέω -ῶ
ἐρωτάω -ῶ
ἔχω
λέγω
ὀνομάζω
δέ
δή
ἐπειδή
μέν
οὖν
οὕτως

δ'. Τὸ ὄνομα τῇ ἀδελφῇ ἐστι...

α'. Ἑλένη β'. Εὐριδίκην γ'. Ἑλένην

ε'. Ἡμεῖς .... ἐσμέν.

α'. χωρία β'. τέκνα γ'. ὄνομα



Ε΄. Ἄκουσον καὶ γράψον.


Ἐγώ ______ Ἑλληνικὸν ______ καὶ οἰκῶ ἐν ἀγροῖς. Ἐνταῦθα γὰρ ἐν τοῖς ἀγροῖς ______ ὁ Φίλιππός ἐστιν, ὃς γεωργεῖ καὶ ἔχει ______.

Ἐγὼ μέν εἰμι ______ τοῦ Φιλίππου, οὗτος δὲ πατήρ μού ______. Καὶ ἄλλα τέκνα ______ ὁ Φίλιππος· ἐγώ εἰμι τέκνον ______ καὶ ἔχω ______ τε καὶ ______. Ὀνομάζουσι δ' ἐμὲ μὲν Ἀλέξανδρον, τὸν δ' ______ ὀνομάζουσι Στέφανον, τὴν δ' ______ Ἑλένην. Ἐσμὲν οὖν τέκνα ______ Φιλίππου καὶ ______ Εὐρυδίκης, ἣ μήτηρ ἐστίν.



ΣΤ΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀληθῶς	ψευδῶς
Ἐγώ εἰμι Ἀλέξανδρος.	X	
Ἐγὼ ἔχω χωρίον.		
Ὁ Φίλιππος τέκνον ἐστίν.		
Ἡ Ἑλένη ἀδελφή ἐστιν.		




ΠΟΥ ΟΙΚΩ; (β′)

Ἔστι δὴ χωρίον ἐν τοῖς ἀγροῖς καὶ ἐν τῷ χωρίῳ οἰκία· ἡμεῖς μὲν οἰκοῦμεν ἐν τῇ οἰκίᾳ, ὁ δὲ Φίλιππος γεωργεῖ ἐν τῷ χωρίῳ.

Ἆρ′ ἐρωτᾷς τί ἐστι *χωρίον*; Τὸ χωρίον ἐστὶ τόπος, ἐν ᾧ γεωργεῖ ὁ γεωργός. Οὗτος γὰρ ἔχει χωρίον.

Λέγω σοι, ὦ φίλε, ὅτι ἐν χωρίῳ οἰκοῦμεν, καὶ ὅτι ἐγώ τε καὶ ὁ Στέφανος καὶ ἡ Ἑλένη ἐσμὲν τέκνα τοῦ Φιλίππου καὶ τῆς Εὐρυδίκης. Ἐν οὖν τῇ τοῦ χωρίου οἰκίᾳ οἰκοῦμεν.

Ἐν δὲ τῇ οἰκίᾳ καὶ οἰκεῖ ἡ τροφὸς ἡμῶν. Ἆρα ἐρωτᾷς τί εστι *τροφός*; Λέγω δή· τροφὸς τρέφει τὰ μικρὰ τέκνα. Ἡ οὖν τροφὸς ἡ ἡμετέρα οἰκεῖ μεθ′ ἡμῶν ἐν τῇ οἰκίᾳ καὶ



ἡ οἰκία

ἐγὼ οἰκῶ ἐν τῇ οἰκίᾳ

ἐν ᾧ : ἐν τῷ τόπῳ

σύ < σοι

ἐγὼ λέγω ὅτι ...



ἡ τροφὸς τρέφει

ἡ τροφὸς ἡ ἡμετέρα = ἡ τροφὸς ἡμῶν

μεθ′ ἡμῶν < μετὰ ἡμῶν

ὀνομάζουσι τὴν τροφὸν ἡμῶν Χαράν.

ἅμα : ὁμοῦ

Οἰκοῦμεν οὖν ἅμα ἐγώ τε καὶ ὁ Φίλιππος ὁ γεωργός καὶ ὁ ἀδελφός μου Στέφανος καὶ ἡ ἀδελφή μου Ἑλένη καὶ ἡ Εὐρυδίκη, ἣ μήτηρ ἡμῶν ἐστιν, καὶ ἡ Χαρὰ, ἣ τροφός ἐστιν. Οἰκοῦμεν δὲ ἡμεῖς ὁμοῦ· ἡ γὰρ τροφὸς οἰκεῖ μεθ' ἡμῶν καὶ ἡμεῖς οἰκοῦμεν μετὰ τῆς τροφοῦ.

Ἡ Χαρά ἐστι τροφὸς ἐμή τε καὶ τῆς Ἑλένης. Ἐγὼ μὲν ὀνομάζω τὴν τροφὸν μάμμην, ἡ δ' Ἑλένη καὶ ὀνομάζει τὴν τροφὸν μάμμην, καὶ δὴ καὶ ὁ ἀδελφός· οἱ δ' ἄλλοι ὀνομάζουσι τὴν τροφὸν Χαράν.



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί ἐστι *χωρίον*;

Χωρίον ἐστὶ τόπος, ἐν ᾧ γεωργεῖ ὁ γεωργός.

α'. Ποῦ οἰκοῦσιν;

β'. Τί ἐστι *τροφός*;

γ'. Τί ὄνομα τῇ τροφῷ ἐστιν;

δ'. Ποῦ οἰκεῖ ἡ τροφός;

ε'. Πῶς ὀνομάζουσι καὶ τὴν τροφόν;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. οἰκία

οἰκία + λόγος	οἰκία + νόμος
οἰκία + σφαῖρα	οἰκία + σύστημα

β'. τόπος

ἀ + τόπος + -ικος	τόπος + -ικος
τόπος + γραφία	τόπος + ὄνομα



Γ΄. Γράψον τὸ ἄρθρον.

. _ὁ_ Φίλιππος γεωργεῖ ἐν _τῷ_ χωρίῳ.

α'. ____ χωρίον ἔχει ἀγρούς.

β'. ____ Στέφανος ἀδελφός ἐστιν.

γ'. ____ τροφὸς τρέφει τὰ μικρὰ τέκνα.

δ'. Ἐν ____ οἰκίᾳ ____ χωρίου ἡμεῖς οἰκοῦμεν.

ε'. ____ Χαρά ἐστι τροφὸς ____ Ἑλένης.



Δ΄. Πλήρωσον τῷ ῥήματι.

. Σὺ οὐκ _εἶ_ (εἰμί) Ἑλληνικὸν παιδίον.

α'. Ὁ γεωργὸς ______ (ἔχω) χωρίον.

β'. Ἡ τροφὸς ______ (οἰκῶ) μεθ' ἡμῶν.

γ'. Ἡμεῖς τέκνα τοῦ Φιλίππου ______ (εἰμί).

δ'. Οἱ ἄλλοι ______ (ὀνομάζω) τὴν τροφὸν Χαράν.

ε'. Ἡ τροφὸς ______ (τρέφω) τὰ μικρὰ τέκνα.

ΓΡΑΜΜΑΤΙΚΗ

ἀρσ.		θηλ.		οὐδ.	
ὁ	-ος	ἡ	-η -α	τὸ	-ον
τὸν	-ον	τὴν	-ην -αν	τὸ	-ον
τοῦ	-ου	τῆς	-ης -ας	τοῦ	-ου
τῷ	-ῳ	τῇ	-ῃ -ᾳ	τῷ	-ῳ
				τὰ	-α

~~ρ, ι, ε~~ + η
ρ, ι, ε + α

ἡ τροφός
[§ III.1.2.]

Ὁ ἐνεστὼς χρόνος

		Α ω	B_2 ῶ
ἐγὼ	εἰμί	ἔχω	οἰκῶ
σὺ	εἶ	ἔχεις	οἰκεῖς
οὗτος	ἐστί(ν)	ἔχει	οἰκεῖ
ἡμεῖς	ἐσμέν	ἔχομεν	οἰκοῦμεν
ὑμεῖς	ἐστέ	ἔχετε	οἰκεῖτε
οὗτοι	εἰσί(ν)	ἔχουσι(ν)	οἰκοῦσι

[§ VII.1.]

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ → ὅς ἡ → ἥ τὸ → ὅ

τῷ → ᾧ τῇ → ᾗ τῷ → ᾧ

[§ II.]



Ε΄. Γράψον μιᾷ φράσει.

. Τὸ χωρίον ἐστὶ *τόπος*. *Ἐν τῷ τόπῳ* γεωργεῖ ὁ γεωργός.

Τὸ χωρίον ἐστὶ τόπος, *ἐν ᾧ* γεωργεῖ ὁ γεωργός.

α΄. *Ἡ Χαρὰ* οἰκεῖ μεθ' ἡμῶν. *Αὕτη* τροφός ἐστιν.

β΄. Οἰκοῦμεν ἅμα ἐγώ τε καὶ ὁ Φίλιππος (...) καὶ *ἡ Εὐρυδίκη*. *Ἡ Εὐρυδίκη* μήτηρ ἡμῶν ἐστιν.



ΣΤ΄. Ἄκουσον καὶ γράψον.

Ἡ Χαρά ἐστι ________ ἐμή τε καὶ τῆς Ἑλένης. Οἰκοῦμεν ________ ὁμοῦ, ________ δὲ καὶ ἡ ________ μεθ' ἡμῶν, ________ δὲ μετὰ τῆς τροφοῦ. Ἐγὼ μὲν ὀνομάζω τὴν ________ μάμμην, ἡ δ' Ἑλένη ________ τὴν ________ μάμμην, καὶ δὴ καὶ ὁ ἀδελφός· οἱ δ' ἄλλοι ________ τὴν τροφὸν Χαράν.



Ζ΄. Ἀπόκριναι ὀρθῶς.

α΄. Τίς ἐστι τροφὸς τῇ Ἑλένῃ;


β΄. Τίς ἔχει χωρίον;

γ΄. Ποῦ οἰκεῖ ἡ Χαρά;

δ΄. Ποῦ οἰκοῦσιν ἅμα;

ΛΕΞΕΙΣ

μάμμη (ἡ)
οἰκία (ἡ)
τόπος (ὁ)
τροφός (ἡ)
φίλος (ὁ)
ἡμέτερος, α, ον
μικρός, ά, όν
ὅς, ἥ, ὅ
τρέφω
γάρ
ὅτι
τε
ἅμα
ὁμοῦ



ΤΟ ΧΩΡΙΟΝ (α′)

Λέγω νῦν περὶ τοῦ ἡμετέρου χωρίου· λόφοι περιέχουσι τὸ ἡμέτερον χωρίον, ὃ οὔκ ἐστι μέγα, ἀλλὰ μικρόν. Ἆρ′ ἐρωτᾷς τί ἐστι *λόφος*; Λέγω δή· *λόφος* μέν ἐστι ὑψηλὸς τόπος, ἡ δὲ γῆ ἣν γεωργοῦμεν οὔκ ἐστιν ὑψηλή, ἀλλ′ ἔστιν ὁμαλή.

Ἆρ′ οὐ δῆλον τί ἐστι *λόφος*; Λέγω ἄλλως δή· ἔστι μὲν λόφος μάλιστα ὑψηλὸς ἐν Ἑλβετίᾳ, ὃν ὀνομάζουσι Λόφον Λευκόν· ἔστι δὲ καὶ ἐν Σκωτίᾳ λόφος Νέβις, καὶ ἐν Ἰβηρίᾳ λόφοι Πυρηναῖοι, καὶ ἄλλοι ἐν Ἰταλίᾳ Ἀπεννῖνοι. Οὐ μέντοι εἰσὶν οἱ λόφοι οἱ ἡμέτεροι οὕτως ὑψηλοὶ ὡς οἱ Πυρηναῖοι· οἱ γὰρ ἡμέτεροί εἰσιν μᾶλλον μικροί.

τὸ ἡμέτερον χωρίον =
τὸ χωρίον τὸ ἡμέτερον =
τὸ χωρίον ἡμῶν


ὁ λόφος


μέγα ↔ μικρόν
ὑψηλός, ή, όν ↔ ὁμαλός, ή, όν


ὑψηλός
μᾶλλον ὑψηλός
μάλιστα ὑψηλός



μέντοι : ἀλλά







Περιέχουσιν οὖν οἱ λόφοι τὸ χωρίον ἡμῶν. Ἐν δὲ μέσῳ τῶν λόφων τὸ χωρίον ἐστίν, ἐν ᾧ γεωργοῦμεν. Καὶ οὐ μόνον τὸ ἡμέτερον χωρίον ἐστὶν ἐνταῦθα, ἀλλὰ καὶ ἄλλα χωρία ἐγγύς ἐστι, καὶ δὲ καὶ ἄλλαι οἰκίαι· ἐκ δεξιᾶς μὲν τὸ ἡμέτερον χωρίον, ἐξ ἀριστερᾶς δ' ἄλλα χωρία, ἐν μέσῳ δὲ ὁδός. Ἡ οὖν ὁδός ἐστιν ἐν μέσῳ τοῦ ἡμετέρου χωρίου καὶ τῶν ἄλλων, καὶ τὰ χωρία ἐν μέσῳ τῶν λόφων.



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Πῶς ἐστι τὸ χωρίον;

Μικρόν ἐστι τὸ χωρίον.

α'. Τί περιέχει τὸ χωρίον;

β'. Ποῦ ὁ Λόφος Λευκός ἐστιν;

γ'. Ἆρα οἱ Πυρηναῖοι ὁμαλοί εἰσιν;

δ'. Τί ἐστιν ἐν μέσῳ τῶν χωρίων;

ε'. Ἆρ' ἐστὶν ἡ ὁδὸς ἐξ ἀριστερᾶς τῶν λόφων;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. μικρός

μικρός + σκοπέω	μικρός + φωνή
μικρός + βίος	μικρός + κεφαλή

β'. μέγας, μεγάλη, μέγα

ὦ + μέγα μέγας + λίθος

μέγα + φωνή μεγάλη + πόλις



Γ'. Γράψον ἑνικῶς.

. Οἱ λόφοι οἱ ἡμέτεροι οὐκ εἰσιν ὑψηλοί.
Ὁ λόφος ὁ ἡμέτερος οὐκ ἐστιν ὑψηλός.

α'. Οἱ λόφοι οἱ ἡμέτεροι μᾶλλον μικροί εἰσιν.

β'. Λόφοι περιέχουσι τὸ ἡμέτερον χωρίον.

γ'. Τὰ χωρία ἐν μέσῳ τῶν λόφων ἐστίν.

δ'. Ἡμεῖς γεωργοῦμεν τὸ χωρίον.



Δ'. Πλήρωσον ταῖς καταλήξεσι.

. Λόφοι περιέχουσι τὸ ἡμέτερ<u>ον</u> χωρί<u>ον</u>.

α'. Λέγω νῦν περὶ τοῦ ἡμετέρ____ χωρί____.

β'. Ἡ γῆ οὐκ ἐστιν ὑψηλ____ , ἀλλὰ ὁμαλ____.

γ'. Τὸ ἡμέτερ____ χωρί____ ἐστὶν μικρ____.

δ'. Ἔστι λόφος μάλιστα ὑψηλ____ ἐν Ἑλβετίᾳ.

ε'. Ἡ τροφὸς ἡ ἡμετέρ____ οἰκεῖ μεθ' ἡμῶν.



Ε'. Γράψον μίᾳ φράσει.

. Λόφοι περιέχουσι *τὸ χωρίον*. *Τὸ χωρίον* μικρόν ἐστιν.
Λόφοι περιέχουσι τὸ χωρίον, *ὃ* μικρόν ἐστιν.

α'. *Ἡ γῆ* ἐστιν ὁμαλή. Γεωργοῦμεν *τὴν γήν*.

β'. Ἐν μέσῳ τῶν λόφων *τὸ χωρίον* ἐστίν.
Ὁ Φίλιππος γεωργεῖ *ἐν τῷ χωρίῳ*.

ΓΡΑΜΜΑΤΙΚΗ

Ἑνικὸς ἀριθμός

ὁ -ος	ἡ -η/α	τὸ -ον
τοῦ -ου	τῆς -ης/ας	τοῦ -ου

Πληθυντικὸς ἀριθμός

οἱ -οι	αἱ -αι	τὰ -α
τῶν -ων	τῶν -ων	τῶν -ων

[§ III.1.2.]

ὁ ἡμέτερος λόφος

ἡ ἡμετέρα οἰκία

τὸ ἡμέτερον χωρίον
[§ IV.1.]

Ἀναφορικὴ ἀντωνυμία
Ἑνικὸς ἀριθμός

ὁ → ὅς	ἡ → ἥ	τὸ → ὅ
τὸν → ὅν	τὴν → ἥν	τὸ → ὅ
τοῦ → οὗ	τῆς → ἧς	τοῦ → οὗ
τῷ → ᾧ	τῇ → ᾗ	τῷ → ᾧ

[§ II.]

ΛΕΞΕΙΣ

ἀριστερά (ἡ)
δεξιά (ἡ)
λόφος (ὁ)
ὁδός (ἡ)
μέγας, μεγάλη, μέγα
μέσος, η, ον
ὁμαλός, ή, όν
ὑψηλός, ή, όν
ὅς, ἥ, ὅ
περιέχω
ἐκ, ἐξ
περί
ὡς
ἄλλως
ἐγγύς
ἐνταῦθα
μάλιστα
μᾶλλον
μέντοι
μόνον
νῦν



ΣΤ΄. Εὑρὲ τὰ ἀντίθετα.

. **ἐνταῦθα**	. ὑψηλός
. ἐκ δεξιᾶς	. ἐγγύς
. μακράν	. **δεῦρο**
. ὁμαλός	. μικρόν
. μέγα	. ἐξ ἀριστερᾶς



Ζ΄. Ἐπεῖπε τὴν ἀληθῆ ἀπάντησιν.

. Τὸ χωρίον ἔχει κύκλῳ... [γ]

α) ὁμαλοὺς λόφους.
β) ὑψηλοὶ λόφοι.
γ) ὑψηλοὺς λόφους.

Α. Οἰκοῦμεν ... [ ]

α) ἐν μέσῳ τῶν χωρίων.
β) κύκλῳ τοῦ χωρίου.
γ) ἐν μέσῳ τῶν λόφων.

Β. ... περιέχουσι τὸ χωρίον. [ ]


α) οἱ λόφοι
β) ἡ ὁδὸς
γ) τὰ χωρία

Γ. Ἐν μέσῳ τοῖς χωρίοις ἐστὶν... [ ]

α) τροφός.
β) ὁδὸς.
γ) χωρίον.

Δ. Τὸ Φιλίππου χωρίον ἐστὶν... [ ]

α) ἐξ ἀριστερᾶς.
β) ἐκ δεξιᾶς.
γ) ἐν μέσῳ.




Ο ΚΗΠΟΣ (β′)

Τοῦτο μέν ἐστι τὸ χωρίον, ἐν ᾧ γεωργεῖ ὁ Φίλιππος, καὶ οὗτοί εἰσιν οἱ λόφοι, οἳ περιέχουσι τὸ χωρίον· αὕτη δὲ ἡ ὁδὸς ἡ ἐν μέσῳ τῶν χωρίων καὶ ταῦτ᾽ ἐστὶ τὰ χωρία τὰ ἐν μέσῳ τῶν λόφων. Καὶ δὴ καὶ αὕτη ἐστὶν ἡ οἰκία ἡ ἐν μέσῳ τοῦ χωρίου· οὗτος δὲ ὁ κῆπός ἐστιν ἐγγὺς τῆς οἰκίας.

οὗτος, αὕτη, τοῦτο
οὗτοι, αὗται, ταῦτα

Ἆρα μ᾽ ἐρωτᾷς τί ἐστι *κῆπος*; Λέγω δή· *κῆπος* γάρ ἐστι τόπος, ἐν ᾧ φυτεύομεν δένδρα καὶ ἄλλα φυτά. Ἃ δὲ φυτεύομεν ἐν τῷ κήπῳ, ταῦτα ἐσθίομεν, καὶ δὴ καὶ τοὺς καρποὺς τῶν δένδρων.



τὸ δένδρον




φυτεύω φυτά


Τὰ δὲ δένδρα, ἃ καρποὺς φέρει, ταῦτα ὀνομάζομεν καρποφόρα δένδρα. Λέγω δή·

καρποὺς φέρει : καρποὺς ἔχει


τὸ σῦκον


ἡ ἐλαία



ἡ σταφυλή


ἐσθίω

φέρει καρπούς : ἔχει καρπούς

ἥμερος, α, ον ↔ ἄγριος, α, ον

ἅπερ = ἅ < ὅς, ἥ, ὅ


τὰ λάχανα

ὥσπερ : =


μή = οὐ


συκᾶς τε καὶ ἐλαίας καὶ ἀμπέλους καὶ ἄλλα δένδρα.

Ταῦτα δὲ τὰ δένδρα φέρει καρπούς· ἡ μὲν συκῆ φέρει σῦκα, ἡ δ' ἐλαία ἐλαίας, ἡ δ' ἄμπελος σταφυλάς.·Ἐσθίομεν οὖν σῦκα τε καὶ ἐλαίας καὶ σταφυλάς. Ἐκ δὲ τῶν σταφυλῶν ποιοῦμεν οἶνον καὶ ἐκ τῶν ἐλαιῶν ἔλαιον. Ἄλλους δὲ καρποὺς φέρει τὰ ἄλλα δένδρα. Φυτεύομεν δὲ καὶ ἐσθίομεν λάχανα.

Ταῦτ' ἐστὶ τὰ ἥμερα δένδρα· ἔστι δὲ καὶ ἄγρια δένδρα ἐπὶ τῶν λόφων. Ἆρ' ἐρωτᾷς τί ἐστιν *ἄγριον* καὶ τί *ἥμερον*; Λέγω οὖν σοι καὶ ταῦτα· τὰ μὲν ἥμερα δένδρα ταῦτ' ἐστίν, ἅπερ φυτεύομεν ἐν τῷ κήπῳ· ὥσπερ καὶ τὰ ἥμερα ζῷα ταῦτ' ἐστίν, ἅπερ τρέφομεν ἐν τῇ οἰκίᾳ καὶ ἐν τῷ χωρίῳ. Ἀλλὰ τὰ ἄγρια δένδρα ἐστὶ ταῦτα, ἃ μὴ φυτεύομεν, ὥσπερ καὶ τὰ ἄγρια ζῷα ἐστὶ ταῦτα, ἃ μὴ τρέφομεν. Ἐπὶ οὖν τῶν λόφων ἐστὶ τὰ ἄγρια δένδρα, καὶ δὴ καὶ τὰ ἄγρια ζῷα.




τὰ ἥμερα ζῷα


τὰ ἄγρια ζῷα

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί φέρει τὰ καρπόφορα δένδρα;

Ταῦτα φέρει καρπούς.

α΄. Τί φυτεύομεν καὶ ἐσθίομεν;

β΄. Ποῦ φυτεύομεν δένδρα καὶ ἄλλα φυτά;

γ΄. Πόθεν ποιοῦμεν οἶνον καὶ ἔλαιον;

δ΄. Ποῖα δένδρα ἐστὶν ἐπὶ τῶν λόφων;

ε΄. Ἆρα τρέφομεν τὰ ἄγρια ζῷα;




Β΄. Ἐν τῇ γλώττῃ σου.

α΄. φυτόν

φυτόν + τομή	φυτόν + γράφω
φυτόν + λόγος	φυτόν + θεραπεία

β΄. φέρω - φόρος

σῆμα + φόρος	μετά + φόρος
φῶς + φόρος	πῦρ + φόρος



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Οὗτος ὁ κῆπ<u>ος</u> ἐστιν ἐγγὺς τῆς οἰκί<u>ας</u>.

α΄. Ἡμεῖς τοὺς καρπ___ τῶν δένδρ___ ἐσθί___.

β΄. Ἡ μὲν συκῆ φέρ___ σῦκ___, ἡ δ᾽ ἄμπελ___ σταφυλ___.

ΓΡΑΜΜΑΤΙΚΗ

ἀρσενικόν

Ο	ὁ	- ος	οἱ	- οι
Α	τὸν	- ον	τοὺς	- ους
Γ	τοῦ	- ου	τῶν	- ων
Δ	τῷ	- ῳ	τοῖς	- οις

θηλυκόν

Ο	ἡ	- η / - α	αἱ	- αι
Α	τὴν	- ην / - αν	τὰς	- ας
Γ	τῆς	- ης / - ας	τῶν	- ων
Δ	τῇ	- ῃ / - ᾳ	ταῖς	- αις

~~ρ, ι, ε~~ + η

ρ, ι, ε + α

Ο	ἡ	- ος	αἱ	- οι
Α	τὴν	- ον	τὰς	- ους
Γ	τῆς	- ου	τῶν	- ων
Δ	τῇ	- ῳ	ταῖς	- οις

οὐδέτερον

Ο	τὸ	- ον	τὰ	- α
Α	τὸ	- ον	τὰ	- α
Γ	τοῦ	- ου	τῶν	- ων
Δ	τῷ	- ῳ	τοῖς	- οις

[§ III.1.2.]

ΓΡΑΜΜΑΤΙΚΗ

Ἀναφορικὴ ἀντωνυμία

Ἑνικὸς ἀριθμός

ὁ → ὅς	ἡ → ἥ	τὸ → ὅ
τὸν → ὅν	τὴν → ἥν	τὸ → ὅ
τοῦ → οὗ	τῆς → ἧς	τοῦ → οὗ
τῷ → ᾧ	τῇ → ᾗ	τῷ → ᾧ

Πληθυντικὸς ἀριθμός

οἱ → οἵ	αἱ → αἵ	τὰ → ἅ
τοὺς → οὕς	τὰς → ἅς	τὰ → ἅ
τῶν → ὧν	τῶν → ὧν	τῶν → ὧν
τοῖς → οἷς	ταῖς → αἷς	τοῖς → οἷς

[§ II.]

γ'. Ἐν τῷ κήπ___ φυτεύομεν λάχαν__ καὶ δένδρ__.

δ'. Ἐκ τῶν σταφυλ___ ποιοῦμεν οἶν___.

ε'. Τὰ ἄγρι___ δένδρ___ καὶ ζῷ___ ἐπὶ τῶν λόφ___ ἐστίν.



Δ΄. Εὑρὲ τοὺς λόγους.

. Ὁ Φίλιππος τοῦτο γεωργεῖ →	. τὰ δένδρα
. Περιέχουσι τὸ χωρίον ἡμῶν	. **τὸ χωρίον**
. Καρποὺς φέρει	. ὁ κῆπος
. Ἐν μέσῳ τῷ χωρίῳ ἐστὶν	. οἱ λόφοι
. Ἐγγὺς τῆς οἰκίας ἐστὶν	. ἡ οἰκία



Ε΄. Γράψον μιᾷ φράσει.

. Αὕτη ἐστὶν *ἡ οἰκία*. *Ἡ οἰκία* ἐν μέσῳ τῷ χωρίῳ ἐστίν.

Αὕτη ἐστὶν ἡ οἰκία, ἣ ἐν μέσῳ τῷ χωρίῳ ἐστίν.

α'. Οὗτος ὁ *κῆπος* ἐγγὺς τῆς οἰκίας ἐστίν. Ἐν *τῷ κήπῳ* φυτεύομεν δένδρα.

β'. *Τὰ ἥμερα δένδρα* ταῦτ' ἐστίν. *Τὰ ἥμερα δένδρα* φυτεύομεν ἐν τῷ κήπῳ.

γ'. Ἔστι καὶ ἄγρια δένδρα ἐπὶ *τῶν λόφων*. *Οἱ λόφοι* περιέχουσι τὸ χωρίον.

δ'. Οὐ τρέφομεν *τὰ ἄγρια ζῷα. Τὰ ἄγρια ζῷα* ἐπὶ τῶν λόφων ἐστίν.




ΣΤ'. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Ἀλέξανδρος καὶ Ἑλένη ἐν τῷ κήπῳ εἰσίν.	X	
Τὸ σῦκον δένδρον ἐστίν.		
Αἱ σταφυλαὶ οὔκ εἰσι καρποί.		
Ἐν τῇ ληνῷ πατοῦσι σταφυλάς.		
Τὰ σκόροδα οὔκ ἐστι λάχανα.		

ΛΕΞΕΙΣ

ἄμπελος (ἡ)
δένδρον (τό)
ἐλαία (ἡ)
ἔλαιον (τό)
ζῷον (τό)
καρπός (ὁ)
κῆπος (ὁ)
λάχανον (τό)
οἶνος (ὁ)
σταφυλή (ἡ)
συκῆ (ἡ)
σῦκον (τό)
φυτόν (τό)
ἄγριος, α, ον
ἥμερος, α, ον
καρποφόρος, ον
ὅσπερ, ἥπερ, ὅπερ
οὗτος, αὕτη, τοῦτο
ἐσθίω
ποιέω -ῶ
φέρω
φυτεύω
ἐπί
μή
ὥσπερ



ΤΑ ΗΜΕΡΑ ΟΡΝΙΘΙΑ (α')

Οἰκεῖ μὲν ἐν τῷ χωρίῳ καὶ ἐν τοῖς ὑψηλοῖς δένδροις ζῷα, ἅπερ ἔχει πτερά· ταῦτα δὲ οἰκοδομεῖ καλιὰς ἀντὶ οἰκιῶν. Ταῦτα δὲ τὰ ζῷα ὀνομάζομεν ὀρνίθια.

Τὰ οὖν ὀρνίθια οἰκοδομεῖ καλιάς, ὥσπερ καὶ οἱ ἄνθρωποι οἰκοδομοῦσιν οἰκίας· ἡ καλιὰ γάρ ἐστιν ἀντὶ οἰκίας τῷ ὀρνιθίῳ, ἐν ᾗ οἰκεῖ τὰ νεόττια. Καὶ ὥσπερ οἱ ἄνθρωποι παιδία τίκτουσιν, οὕτως καὶ τὰ ὀρνίθια τίκτει ᾠά.


Ἔστι γὰρ μικρὸν καὶ στρογγύλον τὸ ᾠόν, καὶ τὰ μὲν τῶν ᾠῶν ἐστι λευκά, τὰ δ' οὔ. Τὰ δ' ᾠὰ τῶν ὀρνιθίων ἔχει ἐκτὸς μὲν τὸ λευκόν, ἐντὸς δὲ τὸ ὠχρόν.

τὸ πτέρον




οἰκοδομεῖ καλιὰς ἀντὶ οἰκιῶν : οὐκ οἰκοδομεῖ οἰκίας, ἀλλὰ καλιὰς

ἡ καλιά



τὰ μέν ἐστι λευκὰ τῶν ᾠῶν, τὰ δ' οὔ.

τὸ νεόττιον
τὰ νεόττια




ἐκτός ↔ ἐντός

Τρέφομεν δὲ τὰ ἥμερα ὀρνίθια, ἅπερ τίκτει ᾠὰ ἡμῖν. Καὶ ἡμεῖς ἐσθίομεν τὰ ᾠά τε καὶ τὰ ἥμερα ὀρνίθια.

Ἐγώ τε καὶ ὁ Στέφανος ζητοῦμεν ᾠὰ ἐν τῷ χωρίῳ ἡμῶν καθ' ἡμέραν. Τὰ μὲν ἥμερα ὀρνίθια τίκτει καθ' ἡμέραν ᾠά· πρῶτον μὲν τίκτει τὸ ᾠὸν ἐν τῇ καλιᾷ, ἔπειτα δὲ κλώζει μέγα. Ἐν ᾧ δὲ χρόνῳ κλώζει τὸ ὀρνίθιον, ἀκούομεν ἡμεῖς· καὶ εὐθὺς ζητοῦμεν τὸ ᾠόν, καὶ ἐκ τῆς καλιᾶς λαμβάνομεν, καὶ φέρομεν εἰς τὴν οἰκίαν· ἡ δ' Εὐρυδίκη λαμβάνει τὸ ᾠὸν εὐθύς, καὶ μετὰ ταῦτα ἕψει μετ' ἄλλων ᾠῶν· ἐσθίομεν γὰρ ἑφθὰ ᾠά.

Τῇ δ' ὑστεραίᾳ ἡμέρᾳ τὸ αὐτὸ ποιεῖ τὸ ὀρνίθιον, τὸ δ' αὐτὸ ποιοῦμεν καὶ ἡμεῖς· κλώζει ὁμοίως καὶ καθ' ἡμέραν τίκτει. Οὕτως δὴ τροφὴν αὐτοῖς παρέχομεν καθ' ἡμέραν καὶ τροφὴν ἡμῖν λαμβάνομεν.




ἡ ἡμέρα

καθ' ἡμέραν < κατὰ ἡμέραν



εὐθύς



τὸ ὀρνίθιον κλώζει μέγα καὶ ἡμεῖς ἀκούομεν



ἐκ τῆς καλιᾶς λαμβάνομεν



φέρομεν ᾠὰ εἰς τὴν οἰκίαν



ἕψει τὰ ᾠά

ὁμοίως : =

λαμβάνω ↔ παρέχω

ΓΡΑΜΜΑΤΙΚΗ

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ἆρα τὰ ὀρνίθια οἰκοδομεῖ οἰκίας ;

Οὐχί, οὐκ οἰκοδομεῖ οἰκίας, ἀλλὰ καλιάς.

α'. Τίνι ἡ καλιά ἐστιν ἀντὶ οἰκίας;

β'. Ποῦ οἰκεῖ τὰ νεόττια;

γ'. Πῶς ἐστι τὸ ᾠόν;

δ'. Τίνες ζητοῦσι τὰ ᾠὰ ἐν τῷ χωρίῳ;

ε'. Πότε τὰ ἥμερα ὀρνίθια τίκτει ᾠά;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ὀρνίθιον

ὀρνίθιον + φίλος　　ὀρνίθιον + λόγος

ὀρνίθιον + μαντεία　　ὀρνίθιον + -σις

β'. πτέρον

ἀ- + πτέρον　　μόνον + πτέρον

πτέρον + δάκτυλος　　περί + πτέρον



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Οἰκεῖ ἐν τοῖς ὑψηλ<u>οῖς</u> δένδρ<u>οις</u>.

ἐν τοῖς δένδροις

ἐν τοῖς ὑψηλοῖς δένδροις
[§ IV.1.]

α'. Τὸ ᾠόν ἐστι μικρ____ καὶ στρογγύλ____.

β'. Τὰ ἥμερ____ ὀρνίθι____ τίκτει ᾠά.

γ'. Ἐσθίομεν ἑφθ____ ᾠ____.

δ'. Τῇ ὑστεραί____ ἡμέρ____ τὸ αὐτὸ ποιεῖ τὸ ὀρνίθιον.



Δ′. Γράψον τὴν πρόθεσιν.

μετὰ	~~ἐν~~	ἐκ	ἀντὶ	ἐν	εἰς

. Τὰ νεόττια <u>ἐν</u> τῇ καλιᾷ οἰκεῖ.


α'. Ἡ καλιά ἐστι ______ οἰκίας τῷ ὀρνιθίῳ.


β'. Ζητοῦμεν τὰ ᾠὰ ______ τῷ χωρίῳ ἡμῶν.

γ'. Λαμβάνομεν τὸ ᾠὸν ______ τῆς καλιᾶς.

δ'. Φέρομεν τὰ ᾠὰ ______ τὴν οἰκίαν.

ε'. ______ ταῦτα ἕψει τὸ ᾠὸν μετ' ἄλλων.







[§ IX.]



Ε′. Ἐπεῖπε ὀρθῶς.

. Τὰ ὀρνίθια οἰκοδομεῖ ...

α'. καλιᾷ   (β'.) καλιάς   γ'. καλιά

α'. Τὰ ὀρνίθια τίκτει …

α'. ᾠά   β'. ᾠῶν   γ'. ᾠῷ

β'. Τὰ ὀρνίθια τίκτει ᾠὰ ...

α'. ἡμεῖς   β'. ἡμῖν   γ'. ἡμῶν

γ'. Τίκτει ᾠὸν ἐν ...

α'. ἡ καλιά   β'. τῇ καλιᾷ   γ'. τὴν καλιάν

δ'. Φέρομεν ᾠὰ εἰς ...

α'. τῆς οἰκίας   β'. τῇ οἰκίᾳ   γ'. τὴν οἰκίαν

ε'. Καθ' ἡμέραν λαμβάνομεν ...

α'. τροφήν   β'. τροφῆς   γ'. τροφή


ΛΕΞΕΙΣ

ἄνθρωπος (ὁ)
ἡμέρα (ἡ)
καλιά (ἡ)
νεόττιον (τό)
ὀρνίθιον (τό)
πτέρον (τό)
τροφή (ἡ)
χρόνος (ὁ)
ᾠόν (τό)
ἑφθός, ή, όν
λευκός, ή, όν
στρογγύλος, η, ον
ὑστεραῖος, α, ον
ὠχρός, ά, όν
ἀκούω
ἕψω
ζητέω -ῶ
κλώζω
λαμβάνω
οἰκοδομέω -ῶ
παρέχω
τίκτω
φέρω
ἀντί
εἰς
ἐκτός
ἐντός
κατά
μετά
ἔπειτα
εὐθύς
ὁμοίως
πρῶτον



ΣΤ΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀληθῶς	ψευδῶς
Ζητοῦσιν ᾠὰ ἐν τῷ χωρίῳ καθ' ἡμέραν.	X	
Τὰ ὀρνίθια οὐ τίκτει ᾠὰ ἐν τῇ καλιᾷ.		
Φέρουσι τὰ ᾠὰ εἰς τὸ χωρίον.		
Ἡ Εὐρυδίκη ἐκ τῆς καλιᾶς ᾠὰ λαμβάνει.		
Ἔχουσι τροφὴν καθ' ἡμέραν.		




ΤΑ ΑΓΡΙΑ ΟΡΝΙΘΙΑ (β')

Τὰ μὲν ἄγρια ὀρνίθια νεοττεύει ἐν τοῖς ὑψηλοῖς δένδροις· ἡμεῖς δ' οὐ παρέχομεν τροφὴν τούτοις τοῖς ὀρνιθίοις, ἀλλὰ ταῦτα παρέχει ἡμῖν τροφήν.


Καὶ οὕτως δὴ ζητοῦμεν τὰ ᾠὰ τῶν ἀγρίων ὀρνιθίων· περιπατοῦμεν μὲν κατὰ τὴν ὕλην· κάτωθεν καὶ ἄνωθεν σκοποῦμεν, εἴ που καλιά ἐστιν. Καὶ ἰδού· ὁρῶμεν μίαν καλιὰν ἔπ' ἄκρου τοῦ δένδρου. Πολλαὶ δὲ καλιαί εἰσιν ἐπὶ τῶν κλάδων οὕτως ὑψηλῶν, ὥστε ἀδύνατόν ἐστιν ἀναβαίνειν ἐκεῖσε.

Τὸ δ' ὀρνίθιον ἐπῴζει, τοῦτ' ἐστί, καθίζει ἐπὶ τῶν ᾠῶν· οὕτως δὴ τὰ ᾠά ἐστι θερμά, εἰ δὲ μή, ψυχρά ἐστι καὶ ἀποθνῄσκει.

νεοττεύει = οἰκοδομεῖ καλιάς



περιπατῶ κατὰ τὴν ὕλην



κάτωθεν < κάτω

καταβαίνω κατὰ τὸ δένδρον



ἄνωθεν < ἄνω


ἀναβαίνω ἐπὶ τὸ δένδρον





σκοπῶ : ὁρῶ

ἰδού < ὁρῶ



ἐπῴζει· καθίζει ἐπὶ τῶν ᾠῶν


ἐκεῖσε : ἐπὶ κλάδων



ψυχρός, ά, όν ↔ θερμός, ή, όν


ἀποθνῄσκει





τὰ νεόττια ἀνοίγει τὸ ῥυγχίον

φύει πτερά : ἔχει πτερά



ἐν τοῖς δρυμοῖς

ταπεινός, ή, όν = ὁμαλός, ή, όν

Τὰ δὲ ᾠὰ θερμά ἐστι, μετὰ δ' ὀλίγον χρόνον, τέκνον ἐστὶν ἐν τῷ ᾠῷ. Λέγομεν δὲ τὸ τέκνον τοῦ ὀρνιθίου *νεόττιον*. Τὸ δ' ὀρνίθιον φέρει τροφὴν τοῖς νεοττίοις καθ' ἡμέραν. Τὰ δὲ νεόττια ἀνοίγει τὸ ῥυγχίον καὶ ἐσθίει τὴν τροφήν. Μετὰ δ' ὀλίγον τὸ νεόττιον φύει πτερὰ, καί ἐστιν ὀρνίθιον ἤδη.

Ἆρ' ἐρωτᾷς ἐμὲ, πότερον ἀναβαίνει καὶ ἡ ἀδελφὴ ἐπὶ τὰ δένδρα; Οὐκ ἀναβαίνει ἐπὶ τὰ ὑψηλὰ δένδρα, ἀλλὰ ζητεῖ ᾠὰ ἐν τοῖς δρυμοῖς τοῖς ταπεινοῖς· μικρὰ γάρ ἐστιν αὕτη. Τὰ δὲ μικρὰ παιδία οὐκ ἀναβαίνει ἐπὶ τὰ ὑψηλὰ δένδρα.



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ποῦ τὰ ἄγρια ὀρνίθια οἰκοδομεῖ καλιάς;
Τὰ ἄγρια ὀρνίθια οἰκοδομεῖ τὰς καλιὰς ἐν τοῖς ὑψηλοῖς δένδροις.

α'. Τί σκοποῦσι κατὰ τὴν ὕλην;

β'. Τίνες ἀναβαίνουσιν ἐπὶ τὸ δένδρον;

γ'. Πῶς ἐπῴζει τὸ ὀρνίθιον;

δ'. Τί ἐστι *νεόττιον*;

ε'. Διὰ τί τὰ νεόττια ἀνοίγει τὸ ῥυγχίον;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ἐπί

ἐπί + γράμμα	ἐπί + δῆμος
ἐπί + κέντρον	ἐπί + καρδία

β'. κατά

κατά + λόγος	κατά + κύμβη
κατά + στροφή	κατά + φορά



Γ΄. Εὑρὲ τὰ ἀντίθετα.

. **ἀναβαίνω** →	. μακράν
. ψυχρός	. **καταβαίνω**
. ἥμερος	. μέγα
. ἐγγύς	. θερμός
. μικρόν	. ἄγριος



Δ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Τὰ ἄγρια ὀρνίθια οἰκοδομεῖ καλιὰς ἐν τοῖς ὑψηλοῖς δένδροις.

α'. Πολλ____ καλι____ εἰσι ἐπὶ τῶν ὑψηλ____ κλάδ____.

β'. Τὰ ᾠ____ ἐστι θερμ____.

γ'. Μετ' ὀλίγ____ χρόν____ τέκνον ἐστὶν ἐν τῷ ᾠῷ.

δ'. Ἡ ἀδελφ____ ἐστι μικρ____.

ε'. Τὰ μικρ____ παιδί____ οὐκ ἀναβαίνει ἐπὶ τὰ ὑψηλ____ δένδρ____.



Ε΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ἡμεῖς οὐ παρέχομεν τροφὴν τούτοις τοῖς ὀρνιθίοις.

α'. Ἡμεῖς περιπατ____ κατὰ τὴν ὕλην καὶ σκοπ____ .

β'. Ἀναβαίν___ ἐγὼ ἐπὶ τὸ δένδρον καὶ ἀναβαίν____ ὁ ἀδελφός.

γ'. Ἀδύνατόν ἐστιν ἀναβαίν____ ἐπὶ τῶν ὑψηλῶν κλάδων.

δ'. Τὰ νεόττια ἀνοίγ____ τὸ ῥυγχίον καὶ ἐσθί____ τὴν τροφήν.



ΣΤ΄. Ἐπεῖπε ὀρθῶς.

. Περιπατοῦμεν κατὰ ... α'. Ἀναβαίνω ἐπὶ ...

(α'.) τὴν ὕλην	α'. τὸ δένδρον
β'. τῆς ὕλης	β'. τοῦ δένδρου
γ'. τῇ ὕλῃ	γ'. τῷ δένδρῳ

β'. Ἡ καλιά ἐστιν ἐπὶ ... γ'. Καταβαίνω κατὰ ...

α'. τὸν κλάδον	α'. τὸ δένδρον
β'. τοῦ κλάδου	β'. τοῦ δένδρου
γ'. τῷ κλάδῳ	γ'. τῷ δένδρῳ

δ'. Καθίζει ἐπὶ ...

α'. τὰ ᾠά

β'. τῶν ᾠῶν

γ'. τοῖς ᾠοῖς

ε'. Οὐκ ἀναβαίνει ἐπὶ ...

α'. τὰ δένδρα

β'. τῶν δένδρων

γ'. τοῖς δένδροις



Ζ'. Ἀποκρίνου πρὸς τὰ ἐρωτήματα.

. Τίς ἀναβαίνει ἐπὶ τὰ δένδρα;

Ὁ Ἀλέξανδρος καὶ ὁ Στέφανος ἀναβαίνουσιν.

α'. Ποσάκις ἀναβαίνουσιν ἐπὶ τὰ δένδρα;


β'. Τί ζητοῦσιν;

γ'. Ποῦ τὰ ᾠά ἐστιν;

δ'. Διὰ τί ἡ Ἑλένη οὐκ ἀναβαίνει ἐπὶ τὰ δένδρα;

ΛΕΞΕΙΣ

κλάδος (ὁ)
ῥυγχίον (τό)
τρόπος (ὁ)
ὕλη (ἡ)
ἀδύνατος, ον
ἄκρος, α, ον
θερμός, ή, όν
ὀλίγος, η, ον
πολύς, πολλή, πολύ
ψυχρός, ά, όν
ἀναβαίνω
ἀνοίγω
ἀποθνῄσκω
ἐπῴζω
καθίζω
καταβαίνω
νεοττεύω
ὁράω -ῶ
περιπατέω -ῶ
σκοπέω -ῶ
φύω
ἐκεῖσε
ἤδη
κάτωθεν
πού
εἰ
πότερον
ὥστε





ἡ κώμη
ὁ κωμητής < ἡ κώμη
οἱ κωμηταί



ὁ πωλητής < πωλῶ
οἱ πωληταί

ὁ ἀγοραστής < ἀγοράζω < ἀγορά
οἱ ἀγορασταί

μικρός ↔ μέγας, μεγάλη, μέγα

πλούσιος ↔ οὐ πλούσιος




Η ΚΩΜΗ ΚΑΙ Η ΟΙΚΙΑ (α΄)

Τὸ χωρίον ἐν ᾧ οἰκοῦμεν ἐγγὺς κώμης ἐστίν. Ἆρ' ἀγνοεῖς τί ἐστι *κώμη;* Λέγω δή· εἰσὶ μὲν οἰκίαι ἐν τῇ κώμῃ, οἱ δ' ἐν τῇ κώμῃ ἄνθρωποι κωμηταί εἰσι. Καὶ ἐν τῇ ἡμετέρᾳ κώμῃ ἀγορά ἐστιν· μικρὰ μὲν ἡ κώμη, μικρὰ δὲ καὶ ἡ ἀγορά· καὶ δὴ καὶ μικρόν ἐστι τὸ χωρίον ἡμῶν. Καὶ ἐν τῇ ἀγορᾷ ἀγοράζουσι μὲν οἱ ἀγορασταί, πωλοῦσι δὲ οἱ πωληταί.


Ἐγὼ δὲ μικρός εἰμι, ἀλλὰ ἡ τροφός μου οὐκ ἔστι μικρὰ, οὐδὲ μικροὶ οἱ λόφοι, οἳ περιέχουσι τὴν μικρὰν κώμην· ὑψηλοὶ γάρ εἰσιν οἱ λόφοι. Ἡ δ' οἰκία ἡμῶν ἐστὶ μεγάλη, ἐπειδὴ πολλοί ἐσμεν, ἀλλ' οὐ πλούσιοι.


Πρῶτον μὲν ἐκ τῆς ὁδοῦ ὁρῶμεν τοῖχον μέγαν τῆς οἰκίας ἡμῶν, καὶ ἐν τῷ τοίχῳ δύο πύλας· τῆς ἡμέρας ἀνεῳγμέναί εἰσιν αἱ πύλαι. Ἐντὸς δὲ τῶν πυλῶν ὁρῶμεν μεγάλην αὐλὴν, καὶ ἐν τῇ αὐλῇ τὰ ὀρνίθια, καὶ δὴ καὶ ἴσως ἄλλα ζῷα, ἢ ἵππον ἢ ὄνον ἢ ἡμίονον.

Ὁ μὲν ἵππος ἕλκει τὴν ἅμαξαν· ὁ δ' ὄνος ὅμοιος ἵππῳ ἐστίν, ἀλλὰ διαφέρει ὀλίγον· μικρότερος γάρ ἐστι καὶ μιαρὰν ἔχει τὴν φωνὴν καὶ ἐσθίει ἀκάνθας. Ὁ δὲ ἡμίονος τέκνον ἵππου καὶ ὄνου ἐστίν. Ταῦτα οὖν ἐν τῇ αὐλῇ ὁρᾷς· ὀρνίθια καὶ ἴσως ἵππον ἢ ὄνον καὶ ἅμαξαν.


ὁ ἵππος ἕλκει τὴν ἅμαξαν

Ἐκ δ' ἀριστερᾶς τῆς αὐλῆς καὶ ἐκ δεξιᾶς εἰσὶ μικροὶ οἰκίσκοι ἢ δωμάτια, ἐν οἷς ἔχομεν τὴν τροφὴν τοῖς ζῴοις, καὶ δὴ καὶ ἄλλα πολλά. Ἐναντίον δὲ ὁρᾷς τὸν πρόδομον· οὐκ ἔστι κεκλῃμένος ὁ πρόδομος, ἀλλὰ ἀνεῳγμένος.


ἡ ἡμέρα ↔ ἡ νύξ


κεκλῃμένη ↔ ἀνεῳγμένη
(κλείω) (ἀνοίγω)


ἐντός ↔ ἔξω


ὁ ὄνος ἔχει μιαρὰν φωνήν

ἐστὶ ὅμοιος ↔ διαφέρει

ἡ ἄκανθα


ὁ οἰκίσκος : τὸ δωμάτιον




ἐναντίον


ἔνδον = ἐντός




ἡ κλίνη



ὁ δίφρος


Ἔνδον δ' ἐν τῇ οἰκίᾳ εἰσὶ τράπεζαι καὶ κλῖναι καὶ δίφροι. Ἐπὶ μὲν τῆς τραπέζης ἐστὶν ὅσα ἐσθίομεν τε καὶ πίνομεν· λέγω σιτία καὶ οἶνον καὶ τὰ ἄλλα. Καθίζομεν μὲν ἐπὶ τῶν δίφρων. Ἐπὶ δὲ τῶν κλινῶν καθεύδομεν· τὸ θέρος καθεύδομεν ἔξω ἐν τῷ προδόμῳ ἢ ἐπὶ τῆς στέγης.


τὰ σιτία ἐπὶ τῆς τραπέζης ἐστίν



ἡ τράπεζα

τὸ θέρος τὸ φθινόπωρον





τὸ ἔαρ ὁ χειμών



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Πῶς ἐστιν ἡ κώμη; **Ἡ κώμη μικρά ἐστιν.**

α'. Ποῦ πωλοῦσιν οἱ πωληταί;

β'. Τίνες ἀγοράζουσιν;

γ'. Διὰ τί ἐστι μεγάλη ἡ οἰκία τοῦ Ἀλεξάνδρου;

δ'. Τί ἔχουσιν ἐν τοῖς μικροῖς οἰκίσκοις τῆς αὐλῆς;

ε'. Πότε καθεύδουσιν ἔξω;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ἄνθρωπος

ἄνθρωπος + λόγος   ἄνθρωπος + φόβος

ἄνθρωπος + μορφή   ἄνθρωπος + ὄνομα

ΓΡΑΜΜΑΤΙΚΗ

β'. ζῷον

ζῷον + λόγος　　　πρῶτον + ζῷον

ζῷον + φίλος　　　ζῷον + γράφω



Γ'. Γράψον πληθυντικῶς.

. Ἐκ δεξιᾶς εἰσι μικροὶ <u>οἰκίσκοι</u> (ὁ οἰκίσκος).

α'. Ἐν τῇ οἰκίᾳ ______ (ὁ δίφρος) εἰσίν.

β'. Ὑψηλοί εἰσιν οἱ ______ (ὁ λόφος).

γ'. Ἐν τῇ ἀγορᾷ ἀγοράζουσιν οἱ ________ (ὁ ἀγοραστής) καὶ πωλοῦσιν οἱ ________ (ὁ πωλητής).

δ'. Οἱ ἐν τῇ κώμῃ ἄνθρωποι ________ (ὁ κωμητής) εἰσιν.

	ἀρσενικόν			
Ο	ὁ	- ης	οἱ	- αι
Α	τὸν	- ην	τοὺς	- ας
Γ	τοῦ	- ου	τῶν	- ων
Δ	τῷ	- ῃ	τοῖς	- αις

[§ III.1.]



Δ'. Πλήρωσον τῷ ῥήματι.

. Τὸ χωρίον ἐν ᾧ ἡμεῖς <u>οἰκοῦμεν</u> (οἰκέω -ῶ) ἐγγὺς κώμης ἐστίν.

α'. Οἱ πωληταὶ ________ (πωλέω -ῶ) καὶ οἱ ἀγορασταὶ ________ (ἀγοράζω).

β'. Ἐντὸς τῶν πυλῶν ἡμεῖς ________ (ὁράω-ῶ) αὐλὴν μεγάλην.

γ'. Ὁ ἵππος ________ (ἕλκω) τὴν ἅμαξαν.

δ'. Σὺ ________ (ὁράω -ῶ) τὸν πρόδομον.

ε'. Τὸ θέρος ἡμεῖς ________ (καθεύδω) ἔξω.

	A	B_1	B_2
	ω	άω/ῶ	έω/ῶ
ἐγὼ	ω	άω/ῶ	έω/ῶ
σὺ	εις	ᾷς	εῖς
οὗτος	ει	ᾷ	εῖ
ἡμεῖς	ομεν	ῶμεν	οῦμεν
ὑμεῖς	ετε	ᾶτε	εῖτε
οὗτοι	ουσι	ῶσι	οῦσι

[§ VII.1.]

ΛΕΞΕΙΣ

ἀγορά (ἡ)
ἀγοραστής (ὁ)
ἄκανθα (ἡ)
ἅμαξα (ἡ)
αὐλή (ἡ)
δίφρος (ὁ)
δωμάτιον (τό)
ἡμίονος (ὁ)
θέρος (τό)
ἵππος (ὁ)
κλίνη (ἡ)
κώμη (ἡ)
κωμητής (ὁ)
οἰκίσκος (ὁ)
ὄνος (ὁ)
πρόδομος (ὁ)
πύλη (ἡ)
πωλητής (ὁ)
στέγη (ἡ)
τοῖχος (ὁ)
τράπεζα (ἡ)
φωνή (ἡ)
ἀνεῳγμένος, η, ον
κεκλῃμένος, η, ον
μιαρός, ά, όν
ὅμοιος, α, ον
ὅσος, η, ον
πλούσιος, α, ον
ἀγοράζω
διαφέρω
ἕλκω
καθεύδω
πίνω
πωλέω -ῶ
ἐναντίον
ἔνδον
ἔξω
ἴσως



Ε΄. Εὑρὲ τὰ ἀντίθετα.

. πωλῶ →	. ἔξω
. ἡμέρα	. ἀγοράζω
. ἔνδον	. δεξιά
. κεκλῃμένος	. νύξ
. ἀριστερά	. ἀνεῳγμένος




ΣΤ΄. Εὑρὲ τὸν λόγον.

Α'. Δύο ἀνεῳμέναι πύλαι εἰσὶν... | γ'
Β'. Ἐξ ἀριστερᾶς καὶ ἐκ δεξιᾶς εἰσι... |
Γ'. Ὅσα ἐσθίουσι καὶ πίνουσίν ἐστι... |
Δ'. Καθίζομεν |

α'. ἐπὶ τῆς τραπέζης.
β'. ἐπὶ τοῦ δίφρου.
γ'. ἐν τῷ μεγάλῳ τοίχῳ.
δ'. μικροὶ οἰκίσκοι.



πρῴ (πρὸ) τῆς μεσημβρίας



τῆς ἑσπέρας τῆς νυκτός

ΚΑΘ' ΗΜΕΡΑΝ (β')

Ἐσθίομεν τρὶς τῆς ἡμέρας· πρῴ μὲν ἐσθίομεν ὀλίγον ἄρτον τε καὶ πίνομεν γάλα ἢ οἶνον· ἔπειτα δὲ πρὸ τῆς μεσημβρίας ἀριστῶμεν· εἶτα δὲ τῆς ἑσπέρας δειπνοῦμεν. Τὸ μὲν πρῶτον ὀλίγον ἐστὶ καὶ ὀνομάζομεν τοῦτο ἀκράτισμα· τὸ δὲ δεύτερον λέγομεν ἄριστον, τὸ δὲ τρίτον ἐστὶ δεῖπνον. Μετὰ δὲ ταῦτα λαλοῦμεν μετ' ἀλλήλων, καὶ καθεύδομεν τῆς νυκτός.

Ἀριθμῶ μὲν τοὺς ἐν τῇ οἰκίᾳ ἀνθρώπους· πέντε ἐσμέν. Ἀριθμῶ δὲ τὰ τῆς οἰκίας οἰκήματα· καὶ δέκα ἐστίν. Ἀριθμῶ δὲ καὶ τοὺς δίφρους ὅσοι ἔνεισι· καὶ οὗτοι εἴκοσίν εἰσιν.

τρίς < τρεῖς, τρία

λαλῶ : λέγω

τὰ οἰκήματα = τὰ δωμάτια

ἔνεισι = ἐντός εἰσι


I	II	III	IV	V
εἷς μία ἕν	δύο	τρεῖς τρία	τέτταρες τέτταρα	πέντε

VI	VII	VIII	IX	X
ἕξ	ἑπτά	ὀκτώ	ἐννέα	δέκα

εἴκοσι(ν) : δέκα καὶ δέκα

γιγνώσκω ↔ ἀγνοέω -ῶ


ἐφ' ὧν < ἐπὶ ὧν



ὁ ἄρτος : ἡ μάζα




τὸ γάλα



ὁ τυρός



τὸ ποτήριον



ἡ λεκάνη

Τὰς δὲ κλίνας ἀριθμῶ· εἰσὶ δ' ἕξ. Τὰς δὲ τραπέζας ἀριθμῶ· τρεῖς εἰσιν.

Γιγνώσκεις δὴ ὁπόσα δωμάτιά ἐστιν ἐν τῇ ἡμετέρᾳ οἰκίᾳ· λέγω γὰρ αὖθις ὅτι δέκα. Εἰσὶ δὲ καὶ ἐν αὐτῇ δίφροι, ἐφ' ὧν καθίζομεν, καὶ κλῖναι, ἐν αἷς καθεύδομεν, καὶ τράπεζαι, ἐφ' ὧν ἐστι τὰ σιτία καὶ ὁ οἶνος· τὰ μὲν σιτία ἐσθίομεν, τὸν δ' οἶνον πίνομεν. Ποτήρια μέν ἐστιν ἡμῖν ἐξ ὧν πίνομεν, λεκάναι δὲ ἐξ ὧν ἐσθίομεν τὰ σιτία. Καὶ ποῖά ἐστιν ἡμῖν τὰ σιτία; Ἄρτος μὲν καὶ μᾶζα, μετὰ ταῦτα τυρὸς λευκός, καὶ ᾠὰ καὶ ὀρνίθια, καὶ δὴ καὶ ἄλλα. Τὰ δ' ἐκ τοῦ κήπου ἐσθίομεν· λάχανα καὶ καρπούς· σταφυλάς τε καὶ σῦκα καὶ ἐλαίας.



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ποσάκις τῆς ἡμέρας ἐσθίουσιν;
Ἐσθίουσι τρὶς τῆς ἡμέρας.

α'. Τί πίνουσι καὶ ἐσθίουσι πρῴ;

β'. Πότε δειπνοῦσιν;

γ'. Πόσα δωμάτια ἐν τῇ οἰκίᾳ ἐστίν;

δ'. Ποῦ εἰσι τὰ σιτία καὶ ὁ οἶνος;

ε'. Ποῖά ἐστι τὰ σιτία;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. πέντε

πέντε + γωνία   πέντε + ἆθλον

πέντε + γραμμή   πέντε + συλλαβή

β'. δέκα

δέκα + γωνία   δέκα + λόγος

δέκα + ἕδρα   δέκα + συλλαβή



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Πρῳ ἐσθίομεν ὀλίγ<u>ον</u> ἄρτ<u>ον</u>.

α'. Ἀριθμῶ τὰ τῆς οἰκί____ οἰκήματ____.

β'. Ἀριθμῶ καὶ τοὺς δίφρ____.

γ'. Ἐπὶ τῶν δίφρ____ καθίζομεν.

δ'. Ὁ οἶν____ ἐπὶ τῆς τραπέζ____ ἐστίν.

ε'. Ἐσθίομεν τὰ λάχαν____ τοῦ κήπ____.



Δ΄. Πλήρωσον τῷ ρήματι.

. Πρῳ ἡμεῖς <u>ἐσθίομεν</u> (ἐσθίω) ὀλίγον.

α'. Πρὸ τῆς μεσημβρίας ἡμεῖς _______ (ἀριστάω -ῶ) καὶ τῆς ἑσπέρας _______ (δειπνέω -ῶ).

β'. Ἡμεῖς _______ (λαλέω -ῶ) μετ' ἀλλήλων.

δ'. Ἐγὼ τοὺς ἀνθρώπους _______ (ἀριθμέω -ῶ).

ε'. Ἐν ταῖς κλίναις οὗτοι _______ (καθεύδω).



Ε΄. Εὑρὲ τοὺς λόγους.

. τρὶς τῆς ἡμέρας	. δειπνοῦμεν
. πρῴ ἐστιν	. ἀριστῶμεν
. τῆς μεσημβρίας	. ἐσθίομεν
. τῆς ἑσπέρας	. καθεύδομεν
. τῆς νυκτὸς	. τὸ ἀκράτισμα



ΣΤ΄. Πλήρωσον τὸν λόγον.

δὲ	ἐκ δεξιᾶς	ἔπειτα
~~πρῶτον~~	ἔξω	εἶτα

Πρῶτον μὲν ἐκ τῆς ὁδοῦ ὁρῶμεν τὸν τῆς οἰκίας τοῖχον· _________ δὲ ἔνδον ὁρῶμεν μεγάλην αὐλὴν, ἐν ᾗ ἐστιν ὀρνίθια καὶ ἄλλα ζῷα. Ἐκ δ' ἀριστερᾶς τῆς αὐλῆς καὶ _________ δωμάτιά ἐστιν. Ἐναντίον _________ ὁ πρόδομος ἀνεῳγμένος ἐστίν. _________ δὲ ἐν τῇ οἰκίᾳ εἰσὶ τράπεζαι καὶ δίφροι καὶ κλῖναι, ἐφ' ὧν καθεύδομεν· τὸ δὲ θέρος καθεύδομεν _________.



Ζ'. Ἄκουσον καὶ γράψον.

__________ ἐν τῇ οἰκίᾳ __________ ἄνθρωποι· ὁ Φίλιππος καὶ ἡ Εὐρυδίκη καὶ τὰ __________ παιδία· __________ μὲν ἀδελφοί, ἐγὼ καὶ ὁ Στέφανος, __________ δὲ ἀδελφή, ἡ Ἑλένη.

Ἐν δὲ τῇ οἰκίᾳ ἔνεισι __________ μὲν κλῖναι, ἐφ' ὧν __________, εἴκοσι δὲ δίφροι, ἐφ' ὧν __________, τρεῖς δὲ τράπεζαι. __________ δὲ τὰ σιτία ὅσα ἐστὶν __________ τῆς τραπέζης. Ἀριθμῶ δὲ καὶ τὰ τῆς οἰκίας δωμάτια, καὶ __________ ἐστίν.

ΛΕΞΕΙΣ

ἀκράτισμα (τό)
ἄριστον (τό)
ἄρτος (ὁ)
γάλα (τό)
δεῖπνον (τό)
ἑσπέρα (ἡ)
λεκάνη (ἡ)
μᾶζα (ἡ)
μεσημβρία (ἡ)
νύξ (ἡ)
οἴκημα (τό)
ποτήριον (τό)
δεύτερος, α, ον
ὁπόσος, η, ον
ποῖος, α, ον
πρῶτος, η, ον
τρίτος, η, ον
ἀλλήλους, ας, α
οὐδείς, οὐδεμία, οὐδέν
ἀγνοέω -ῶ
ἀριθμέω -ῶ
ἀριστάω -ῶ
γιγνώσκω
δειπνέω -ῶ
ἔνειμι
λαλέω -ῶ
εἷς, μία, ἕν
δύο
τρεῖς, τρία
τέτταρες, α
πέντε
ἕξ
ἑπτά
ὀκτώ
ἐννέα
δέκα
εἴκοσι(ν)

αὖθις
εἶτα
πρῴ
τρίς
πρό

ὑμῖν ἐστιν οἰκία = ὑμεῖς ἔχετε οἰκίαν
ὑμῖν < ὑμεῖς


ἐμοί ἐστι παιδαγωγός = ἐγὼ ἔχω παιδαγωγόν
ἐμοί < ἐγώ



ὁ δοῦλος

ἄγω = φέρω

ὑπό : κάτω




γράφω γύψῳ ἐπὶ τοῦ τοίχου



γράφω ξύλῳ ἐπὶ τῆς γῆς







ΤΟ ΔΙΔΑΣΚΑΛΕΙΟΝ (α′)

Ἡμεῖς οὐκ ἔχομεν μεγάλην οἰκίαν ἐν ᾗ διδάσκουσι πολλοὶ διδάσκαλοι· ὑμῖν γάρ ἐστιν οἰκία ἣ ἔχει πολλὰ δωμάτια, τὰ μὲν μεγάλα, τὰ δὲ μικρά· ὑμῖν δ′ εἰσὶ καὶ πολλοὶ διδάσκαλοι.

Ἐμοὶ ἐστὶ παιδαγωγὸς, ὃς δοῦλός ἐστι, καὶ ἄγει ἐμὲ εἰς τὴν κώμην παρὰ τὸν διδάσκαλον. Ὁ δὲ διδάσκαλος διδάσκει ἢ ἐν τῇ αὑτοῦ οἰκίᾳ ἢ ἐν τῇ αὐλῇ ἢ ὑπὸ τῷ δένδρῳ ἔξω.

Ὑμεῖς μὲν γράφετε καλάμοις ἐν παπύρῳ ἢ γύψῳ ἐν τῷ τοίχῳ· ἡμεῖς δὲ γράφομεν στύλῳ ἐν πινακίῳ ἢ ξύλῳ ἐπὶ τῆς γῆς.





Ἆρα γιγνώσκεις πῶς δή ἐστι τὰ πινακία ἡμῶν; Λέγω δή· ξύλινα μέν ἐστι τὰ πινάκια ἡμῶν, ἔστι δὲ ἐπ' αὐτῶν μάλθα, ἐν ᾗ γράφομεν τοῖς στύλοις· καὶ μετὰ ταῦτα λεαίνομεν τὴν μάλθαν. Γράφομεν δὲ πολλάκις ἐν τῇ αὐτῇ μάλθῃ. Ἡμῖν οὖν οὔκ ἐστι πολλὰ πινακία.

Ἐν τῷ πινακίῳ γράφομεν οὕτως· γάμμα, ῥῶ, ἄλφα, φῖ, ὂ μικρόν, μῦ, ἒ ψιλόν, νῦ, τοῦτ' ἔστι· *γράφομεν*. Γράφομεν καλῶς, διότι οὐκ ἐθέλομεν πληγὰς λαμβάνειν. Καὶ γὰρ ἔχει ξύλον ὁ διδάσκαλος, ᾧ παίει ἡμᾶς ἐνίοτε· οὐ μέντοι πολλάκις παίει τὰ παιδία τῷ ξύλῳ, διότι ἀγαθός ἐστιν. Οἱ δὲ κακοὶ διδάσκαλοι πολλάκις παίουσι τὰ παιδία, ἐν ᾧ χρόνῳ διδάσκουσιν.



ὁ διδάσκαλος παίει



ὁ μαθητὴς πληγὰς λαμβάνει

κακός, ή, όν ↔ ἀγαθός, ή, όν

ἀεὶ
|
πολλάκις
|
ἐνίοτε
|
οὐδέποτε

ἀεὶ ↔ οὐδέποτε

ΓΡΑΜΜΑΤΙΚΗ

πολύς, πολλή, πολύ

ἑνικὸς ἀριθμός

πολὺς χρόνος
πολλὴ μάλθα
πολὺ χωρίον

ἔχω *πολὺν* χρόνον
πολλὴν μάλθαν
πολὺ χωρίον

ὁ τόπος *πολλοῦ* χρόνου
πολλῆς μάλθης
πολλοῦ χωρίου

(ἐν) *πολλῷ* χρόνῳ
πολλῇ μάλθῃ
πολλῷ χωρίῳ

πληθυντικὸς ἀριθμός

οἱ διδάσκαλοι *πολλοί* εἰσιν.
αἱ οἰκίαι *πολλαί* εἰσιν.
τὰ δωμάτια *πολλά* ἐστιν.

ἔχω *πολλοὺς* διδασκάλους
πολλὰς οἰκίας
πολλὰ δωμάτια

ὁ τόπος *πολλῶν* διδασκάλων
πολλῶν οἰκιῶν
πολλῶν δωματίων

(ἐν) *πολλοῖς* διδασκάλοις
πολλαῖς οἰκίαις
πολλοῖς δωματίοις

[§ IV.1.]

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τίνι γράφουσιν ἐν τῷ πινακίῳ;

Γράφουσι στύλῳ ἐν τῷ πινακίῳ.

α'. Τί ποιεῖ ὁ παιδαγωγός;

β'. Ποῦ διδάσκει ὁ διδάσκαλος;

γ'. Τίνι γράφουσιν ἐπὶ τῆς γῆς;

δ'. Ποσάκις γράφουσιν ἐν τῇ αὐτῇ μάλθῃ;

ε'. Πῶς ἐστιν ὁ διδάσκαλος;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. γράφω

καλός + γράφω　　ἐπί + γράφω

στύλος + γράφω　　ξύλον + γράφω

β'. πολύς, πολλή, πολύ

πολύς + φωνή　　πολύς + ἕδρα

πολύς + χρῶμα　　πολύς + θεός + -ισμός



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Πολλοὶ διδάσκαλοι ὑμῖν διδάσκουσιν.

α'. Τὸ διδασκαλεῖον ἔχει πολλ____ δωμάτια.

β'. Πολλ____ διδάσκαλοι ὑμῖν εἰσιν.

γ'. Πολλ____ πινακία ἐπὶ τῆς τραπέζης ἐστίν.

δ'. Ἡμεῖς οὐκ ἔχομεν πολλ____ στύλους.

ε'. Πολλ____ ἕδραι ἐν τῷ διδασκαλείῳ εἰσίν.



Δ΄. Ἄλλαξον τὰς φράσεις.

. Ἡμῖν οὔκ ἐστι μεγάλη οἰκία.

Ἡμεῖς οὐκ ἔχομεν μεγάλην οἰκίαν.

α'. Ὑμῖν ἐστι πολλὰ δωμάτια.

β'. Ἐμοί ἐστι παιδαγωγός.

γ'. Ἡμῖν οὔκ ἐστι πολλὰ πινακία.

δ'. Αὐτῷ ἐστι ξύλον.



Ε΄. Ἄλλαξον τὰς φράσεις.

. Ἡμεῖς οὐκ ἔχομεν πολλοὺς διδασκάλους.

Ἡμῖν οὔκ εἰσι πολλοὶ διδάσκαλοι.

α'. Ἡμεῖς ἔχομεν στύλους καὶ ξύλινα πινακία.

β'. Ὑμεῖς ἔχετε καλάμους καὶ παπύρους.

γ'. Σὺ ἔχεις πολλὰς ἕδρας καὶ τράπεζας.

δ'. Αὐτοὶ οὐκ ἔχουσι πολλὰς παπύρους.



ΣΤ΄. Γράψον τὴν πρόθεσιν.

ἐν	~~ἐν~~	εἰς	ὑπὸ	ἐπὶ	παρὰ

. Ὑμεῖς γράφετε καλάμῳ ἐν παπύρῳ.

α'. Ὁ παιδαγωγὸς ἄγει με ____ τὴν κώμην ____ τὸν διδάσκαλον.

β'. Ὁ διδάσκαλος διδάσκει ____ τῇ αὐλῇ ἢ ____ τῷ δένδρῳ.

γ'. Ὁ διδάσκαλος γράφει ξύλῳ ____ τῆς γῆς.

ΓΡΑΜΜΑΤΙΚΗ

Αἱ προσωπικαὶ ἀντωνυμίαι

ἐγώ	ἐμοί / μοι
σύ	σοι
αὐτός	αὐτῷ
αὐτή	αὐτῇ
αὐτό	αὐτῷ
ἡμεῖς	ἡμῖν
ὑμεῖς	ὑμῖν
αὐτοί	αὐτοῖς
αὐταί	αὐταῖς
αὐτά	αὐτοῖς

[§ V.1.]

Αἱ προθέσεις

ἐν

ὑπό

-ῳ	-ῃ/ᾳ	-ῳ
-οις	-αις	-οις

εἰς

-ον	-ην/αν	-ον
-ους	-ας	-α

παρά

ἐπί

-ου	-ης/ας	-ου
-ων	-ων	-ων

[§ IX.]


ΛΕΞΕΙΣ

γῆ (ἡ)
γύψος (ἡ)
διδάσκαλος (ὁ)
δοῦλος (ὁ)
ἔργον (τό)
κάλαμος (ὁ)
μάλθα (ἡ)
ξύλον (τό)
παιδαγωγός (ὁ)
πάπυρος (ἡ)
πινακίον (τό)
πληγή (ἡ)
στῦλος (ὁ)
ἀγαθός, ή, όν
κακός, ή, όν
ξύλινος, η, ον
ἄγω
ἀναγιγνώσκω
γράφω
διδάσκω
λεαίνω
μανθάνω
παίω
παρά
ὑπό
ἀεί
ἐνίοτε
καλῶς
οὐδέποτε
πολλάκις
διότι



Ζ΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Ὁ παιδαγωγὸς ἄγει τὸν Ἀλέξανδρον.	X	
Ὁ Ἀλέξανδρος φέρει τὸ πινακίον καὶ τὸν στύλον.		
Ὁ διδάσκαλος διδάσκει ἐν τῇ αὐλῇ.		
Ὁ Ἀλέξανδρος οὐκ ἔχει στύλον.		
Ἔξω εἰσὶ μία τράπεζα καὶ ἓξ δίφροι.		



ΤΑ ΤΟΥ ΟΜΗΡΟΥ ΕΡΓΑ (β′)

Ἡμεῖς μανθάνομεν ἀναγιγνώσκειν τὰ τῶν ποιητῶν ἔργα καὶ λέγομεν τοὺς στίχους αὐτῶν ἄνευ πινακίου καὶ ἄνευ βιβλίου. Ὁ Ὅμηρος ὁ μέγιστος ποιητής ἐστι, καὶ ἀναγιγνώσκομεν τὰ αὐτοῦ ἔργα· τὴν Ἰλιάδα τε καὶ τὴν Ὀδύσσειαν. Χαλεπὸν δή ἐστι λέγειν τὰ Ὁμηρικὰ ἄνευ βιβλίου. Καλοὶ μαθηταί ἐσμεν, καὶ μανθάνομεν εὖ, ἐπειδὴ οὕτως ἀγαθός ἐστιν ὁ διδάσκαλος.

Οἱ δὲ ῥαψῳδοὶ καὶ λέγουσι τὰ τοῦ Ὁμήρου ἄνευ βιβλίων. Πολλοὶ δὲ τῶν ῥαψῳδῶν οὐχ ὁρῶσιν τὸν ἥλιον, ἐπειδὴ τυφλοί εἰσιν· ὀφθαλμοὺς μὲν ἔχουσιν, ἀλλ᾽ οὐχ ὁρῶσιν. Ὁ δὲ ῥαψῳδὸς ἔχει σκῆπτρον, ᾧ παίει τὴν γῆν ἐν ᾧ χρόνῳ περιπατεῖ.




ἀναγιγνώσκω τὸ βιβλίον

ἄνευ πινακίου ↔ τῷ πινακίῳ

ὁ στίχος· τὰ ἔργα τῶν ποιητῶν ἔχει στίχους.


μέγιστος : μάλα / πολύ μέγας



χαλεπός, ή, όν ↔ ῥᾴδιος, α, ον


τὰ Ὁμηρικά = τὰ τοῦ Ὁμήρου ἔργα

εὖ = καλῶς



ὁ ῥαψῳδός





ὁ τυφλός· οὐχ ὁρᾷ τὸν ἥλιον

ὁ ὀφθαλμός



πάρειμι : εἰμί

μένω: εἰμί, οἰκῶ

τήμερον : ἡ ἡμέρα ἐν ᾗ ἐσμεν

δεῖ μοι σιτίων καὶ οἴνου καὶ ὕπνου : ἐγὼ ἐθέλω σιτία καὶ οἶνον καὶ ὕπνον

ξένος : οὐκ οἰκεῖ ἐν τῇ χώρᾳ, ἐν τῇ κώμῃ... ↔ ἔνδημος, ἐπιχώριος

ἄσμενος ↔ λυπηρός, ἄθυμος



Ῥαψῳδός τις δὴ τῆς ἑσπέρας πάρεστι πρὸς τὴν οἰκίαν μου καὶ παίει τὴν θύραν τῷ σκήπτρῳ καὶ βοᾷ· «τίς ἔνδον;» Ἀκούει δ' ὁ οἰκέτης καὶ ἀνοίγει τὴν θύραν, καὶ ἐρωτᾷ· «πόθεν εἶ σύ; καὶ τί ἐθέλεις;» Ὁ δὲ ῥαψῳδὸς λέγει· «ἐγὼ μέν εἰμι ῥαψῳδός καὶ ἐθέλω μένειν μεθ' ὑμῶν τήμερον· δεῖ μοι σιτίων καὶ οἴνου· ἐγὼ μὲν ῥαψῳδῶ τὰ Ὁμηρικὰ, ὑμεῖς δὲ ἀκούετε». Ὁ γὰρ οἰκέτης λέγει· «κάθιζε δή, ὦ ξένε, καὶ ἔσθιε καὶ πῖνε ὅσα ἐθέλεις· μετὰ δὲ τὸ δεῖπνον ῥαψῴδει μὲν σύ, ἡμεῖς δ' ἀκούομεν ἄσμενοι.»



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Πῶς λέγουσι τὰ τῶν ποιητῶν ἔργα;

Λέγουσι ταῦτα ἄνευ πινακίου καὶ ἄνευ βιβλίου.

α'. Τίς ἐστιν ὁ Ὅμηρος;

β'. Ποῖα ἔργα ἀναγιγνώσκουσιν;

γ'. Τί ἔχει ὁ ῥαψῳδός;

δ'. Πότε πάρεστι ὁ ῥαψῳδός ἐν τῇ οἰκίᾳ τοῦ Ἀλεξάνδρου;



Β΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀληθῶς	ψευδῶς
Ὁ Ὅμηρος ὁ μέγιστος ποιητής ἐστιν.	X	
Λέγουσι τὰ Ὁμηρικὰ ἄνευ βιβλίου.		
Ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια οὔκ εἰσι ἔργα τοῦ Ὁμήρου.		
Ὁ ῥαψῳδὸς ἐθέλει σιτία καὶ οἶνον.		
Ἀκούουσι τὸν ῥαψῳδὸν μετὰ τὸ δεῖπνον.		



Γ΄. Ἐν τῇ γλώττῃ σου.

α'. ποιητής - ποιέω

ποιέω + -μα　　　ποιέω + -σις

ὄνομα + ποιέω　　　πρόσωπον + ποιέω

β'. λόγος - λέγω

λόγος + παιδίον　　　ὀφθαλμός + λόγος

φίλος + λόγος　　　χρόνος + λόγος



Δ΄. Εὑρὲ τοὺς λόγους.

. ὁ ῥαψῳδὸς　　　. οὐχ ὁρᾷ.

. ὁ τυφλὸς　　　. ἀνοίγει τὴν θύραν.

. ὁ οἰκέτης　　　. ἀναγιγνώσκουσιν.

. οἱ μαθηταὶ　　　. λέγει τὰ Ὁμήρου ἔργα.



ΓΡΑΜΜΑΤΙΚΗ

Ἡ προστακτικὴ ἔγκλισις

σὺ καθίζεις → κάθιζε!
ὑμεῖς καθίζετε → καθίζετε!
[§ VII.6.]

Ἡ ἀπαρέμφατος ἔγκλισις
Ἐγὼ μανθάνω. Ἐγὼ γράφω.

Ἐγὼ μανθάνω γράφειν.

A
λέγειν

B_1 ὁρᾶν B_2 ἀριθμεῖν

[§ VII.8.]



Ε΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ἡμεῖς λέγ<u>ομεν</u> τοὺς στίχους ἄνευ πινακί<u>ου</u>.

α'. Μανθάνομεν ἀναγιγνώσκ___ τὰ τῶν ποιητ___ ἔργ___.

β'. Χαλεπ___ ἐστι λέγ___ τὰ Ὁμηρικὰ ἄνευ βιβλί___.

γ'. Μανθάνομεν λέγ___ τὰ Ὁμηρικὰ καὶ ᾄδ___ καὶ ἀριθμ___.

δ'. Κάθιζ___ καὶ ἔσθι___ καὶ πῖν___ ὅσα θέλεις.



ΣΤ΄. Γράψον μιᾷ φράσει.

. Ὁ Ἀλέξανδρος μανθάνει. Λέγει τοὺς στίχους.

Ὁ Ἀλέξανδρος μανθάνει <u>λέγειν</u> τοὺς στίχους.

α'. Ἡμεῖς μανθάνομεν. Ἀναγιγνώσκομεν τὰ Ὁμηρικά.

β'. Οἱ μαθηταὶ μανθάνουσιν. Λέγουσι τὰ ἔργα ἄνευ βιβλίου.

γ'. Ὁ ῥαψῳδὸς ἐθέλει. Ἐσθίει σιτία καὶ πίνει οἶνον.




Ζ'. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Ἐν τῷ διαλόγῳ λέγουσι δύο μαθηταί.	Χ	
Ὁ διδάσκαλος ἐθέλει διδάσκειν ἐν τῇ οἰκίᾳ.		
Ὁ Ἀλέξανδρος οὐκ ἔχει πινακίον.		
Ὁ Ἡφαιστίων γράφει ἐπὶ τῆς γῆς.		
Μανθάνουσι τὰ τοῦ Ὁμήρου ἔργα.		
Ὁ Ἀλέξανδρος ἐρωτᾷ πῶς γράφει *Ὅμηρος*.		

ΛΕΞΕΙΣ

βιβλίον (τό)
ἥλιος (ὁ)
ξένος (ὁ)
οἰκέτης (ὁ)
ὀφθαλμός (ὁ)
ποιητής (ὁ)
ῥαψῳδός (ὁ)
σιτίον (τό)
σκῆπτρον (τό)
στίχος (ὁ)
ἄσμενος, η, ον
μέγιστος, η, ον
Ὁμηρικός, ή, όν
τυφλός, ή, όν
χαλεπός, ή, όν
βοάω -ῶ
δέω
ἐθέλω
μένω
πάρειμι
ῥαψῳδέω -ῶ
ἄνευ
πρός
εὖ
πόθεν
τήμερον



ΟΙ ΑΡΙΘΜΟΙ ΚΑΙ ΤΟ ΣΩΜΑ (γ')

Μανθάνομεν δὲ καὶ τοὺς ἀριθμούς· ὁ διδάσκαλος ἡμῶν διδάσκει ἡμᾶς ἀριθμεῖν. Καὶ ἀριθμοῦμεν καθ' ἡμέραν οὕτως· ἕν, δύο, τρία, τέτταρα, πέντε, ἕξ, ἑπτά, ὀκτώ, ἐννέα, δέκα. Μετὰ δὲ ταῦτα ἕνδεκα, δώδεκα, τρία καὶ δέκα, τέτταρα καὶ δέκα, πέντε καὶ δέκα, ἓξ καὶ δέκα, ἑπτὰ καὶ δέκα, ὀκτὼ καὶ δέκα, ἐννέα καὶ δέκα, εἴκοσιν.


Μετὰ δὲ τὰ εἴκοσιν· ἓν καὶ εἴκοσι, δύο καὶ εἴκοσι, τρία καὶ εἴκοσι, τέτταρα καὶ εἴκοσι, πέντε καὶ εἴκοσι, ἓξ καὶ εἴκοσι, ἑπτὰ καὶ εἴκοσι, ὀκτὼ καὶ εἴκοσι, ἐννέα καὶ εἴκοσι. Μετὰ δὲ ταῦτα λέγομεν τῷ αὐτῷ τρόπῳ περὶ τῶν τριάκοντα, τετταράκοντα, πεντήκοντα,

τριάκοντα, τετταράκοντα...

ἑξήκοντα, ἑβδομήκοντα, ὀγδοήκοντα, ἐνενήκοντα καὶ ἑκατόν. Καὶ δὴ καὶ τῷ αὐτῷ τρόπῳ μετὰ ταῦτα λέγομεν· διακόσια, τριακόσια, τετρακόσια, πεντακόσια, ἑξακόσια, ἑπτακόσια, ὀκτακόσια, ἐνακόσια, χίλια.

διακόσιοι, αι, α
τριακόσιοι, αι, α...

Μανθάνομεν δὲ καὶ τὸ σῶμα ἡμῶν· ἔχομεν γὰρ ἕν σῶμα, ὃ ἔχει μίαν κεφαλήν· ἐπὶ δὲ τῆς κεφαλῆς κόμαί εἰσιν. Ὑπὸ δὲ τῷ μετώπῳ ἔχομεν δύο ὀφθαλμοὺς καὶ ὁρῶμεν αὐτοῖς· ὁ μὲν ὀφθαλμός ἐστιν ὄργανον τοῦ ὁρᾶν, τὸ δὲ ὁρᾶν ἐστιν ἡ ὄψις. Ἔχομεν δὲ καὶ δύο ὦτα· τὰ ὦτα καὶ ἐπὶ τῆς κεφαλῆς ἐστι, καὶ δὴ καὶ τὰ ὦτα ἐστὶ ὄργανον τοῦ ἀκούειν, ἡ ἀκοή. Ἔχομεν δὲ καὶ στόμα καὶ μίαν γλῶτταν.



Ἡ δὲ κεφαλὴ ἐπὶ τοῦ τραχήλου ἐστὶν καὶ ἑκατέρωθε οἱ ὦμοί εἰσιν· ἔχομεν γὰρ δύο ὤμους. Καὶ ὄπισθεν μὲν τὸ νῶτον ἐστὶ, ἔμπροσθεν δὲ τὸ στῆθος. Ἔχομεν δὲ καὶ δύο χεῖρας, καὶ ἐν ἑκατέρᾳ πέντε δάκτυλοί εἰσιν.



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί ἔχομεν ἐπὶ τῆς κεφαλῆς;

Ἐπὶ τῆς κεφαλῆς ἔχομεν κόμας.

α'. Τίνι ὀργάνῳ ὁρῶμεν;

β'. Τί ἐστιν ἡ ἀκοή;

γ'. Τί ἔχει τὸ στόμα ἔνδον;

δ'. Ποῦ ἐστιν ἡ κεφαλή;

ε'. Πόσους δακτύλους ἔχομεν;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ἀριθμῶ

ἀριθμῶ + -(τ)ικός   ἀριθμῶ + μέτρον

β'. χίλια

χίλια + μέτρον   χίλια + γράμμα

γ'. κεφαλή


κεφαλή + ἄλγος   ἐν + κεφαλή + γράμμα

δ'. ὀφθαλμός


ὀφθαλμός + λόγος   ὀφθαλμός + σκοπέω

Τὰ προσωπικὰ

[§ V.2.]



δεῦρο	ἐνταῦθα	ἐκεῖ
ὅδε	οὗτος	ἐκεῖνος
ἥδε	αὕτη	ἐκείνη
τόδε	τοῦτο	ἐκεῖνο



Γ'. Πλήρωσον τὸν λόγον.

Ἡμεῖς οὐκ ἔχομεν οἰκίαν μεγάλην, ἐν ᾗ διδάσκουσιν πολλοὶ διδάσκαλοι. Ἡμεῖς μανθάνομεν ἢ ἐν τῇ τοῦ διδασκάλου οἰκίᾳ ἢ ἐν ________ (*ἐκεῖνος ἐκείνη ἐκεῖνο*) τῇ αὐλῇ ἢ ὑπὸ ________ (*ὅδε ἥδε τόδε*) τῷ δένδρῳ. Ὑμεῖς μὲν γράφετε ________ (*οὗτος αὕτη τοῦτο*) τοῖς καλάμοις ἐν ________ (*οὗτος αὕτη τοῦτο*) τῇ παπύρῳ ἢ ________ (*ἐκεῖνος ἐκείνη ἐκεῖνο*) τῇ γύψῳ ἐν ________ (*ἐκεῖνος ἐκείνη ἐκεῖνο*) τῷ τοίχῳ. Ἡμεῖς δὲ γράφομεν ________ (*οὗτος αὕτη τοῦτο*) τῷ στύλῳ ἐν ________ (*οὗτος αὕτη τοῦτο*) τῷ πινακίῳ.

ὅδε ὁ ἄνθρωπος
  οἵδε οἱ ἄνθρωποι
ἥδε ἡ οἰκία
  αἵδε αἱ οἰκίαι
τόδε τὸ βιβλίον
  τάδε τὰ βιβλία

οὗτος ὁ ἄνθρωπος...
  οὗτοι οἱ ἄνθρωποι...
αὕτη ἡ οἰκία...
  αὗται αἱ οἰκίαι...
τοῦτο τὸ βιβλίον...
  ταῦτα τὰ βιβλία...

ὁρῶ	τοῦτον τὸν ἄνθρωπον τούτους τοὺς ἀνθρώπους ταύτην τὴν οἰκίαν ταύτας τὰς οἰκίας τοῦτο τὸ βιβλίον ταῦτα τὰ βιβλία
ὁ τόπος	τούτου τοῦ ἀνθρώπου τούτων τῶν ἀνθρώπων ταύτης τῆς οἰκίας τούτων τῶν οἰκιῶν τούτου τοῦ βιβλίου τούτων τῶν βιβλίων
(ἐν)	τούτῳ τῷ ἀνθρώπῳ τούτοις τοῖς ἀνθρώποις ταύτῃ τῇ οἰκίᾳ ταύταις ταῖς οἰκίαις τούτῳ τῷ βιβλίῳ τούτοις τοῖς βιβλίοις

ἐκεῖνος ὁ ἄνθρωπος
  ἐκεῖνοι οἱ ἄνθρωποι
ἐκείνη ἡ οἰκία
  ἐκεῖναι αἱ οἰκίαι
ἐκεῖνο τὸ βιβλίον
ἐκεῖνα τὰ βιβλία


ΛΕΞΕΙΣ

ἀκοή (ἡ)
γλῶττα (ἡ)
δάκτυλος (ὁ)
κεφαλή (ἡ)
κόμη (ἡ)
μέτωπον (τό)
νῶτον (τό)
ὄργανον (τό)
οὖς, ὠτός (τό)
ὄψις, εως (ἡ)
ῥίς, ῥινός (ἡ)
στῆθος, ους (τό)
σῶμα, ατος (τό)
τράχηλος (ὁ)
χείρ, χειρός (ἡ)
ὦμος (ὁ)
ἑκάτερος, α, ον
τριάκοντα
τετταράκοντα
πεντήκοντα
ἑξήκοντα
ἑβδομήκοντα
ὀγδοήκοντα
ἐνενήκοντα
ἑκατόν
διακόσιοι, αι, α
τριακόσιοι, αι, α
τετρακόσιοι, αι, α
πεντακόσιοι, αι, α
ἑξακόσιοι, αι, α
ἑπτακόσιοι, αι, α
ὀκτακόσιοι, αι, α
ἐνακόσιοι, αι, α
χίλιοι, αι, α
κάτω
ὄπισθεν
ἔπροσθεν




Δ΄. Εὑρὲ τὸν διάλογον τῷ λόγῳ.

Διάλογος Α΄	. Ἐν μέσῳ αἱ τράπεζαί εἰσιν.
Διάλογος Β΄	**. Ἀναγιγνώσκω τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν.**
Διάλογος Γ΄	. Τὸ πινακίον ἐξ ἀριστερᾶς τοῦ στύλου ἐστίν.
Διάλογος Δ΄	. Ὁ παιδαγωγὸς ὑπὸ τῷ δένδρῳ ἐστίν.
Διάλογος Ε΄	. Ὁ Ἀλέξανδρος γράφει στύλῳ.
Διάλογος ΣΤ΄	. Ἐνταῦθα τὸ βιβλίον τοῦ διδασκάλου ἐστίν.



Ο ΙΑΤΡΟΣ (α′)

Τήμερον ἐγὼ κλαίω, ἐπειδὴ ἀλγῶ τὴν κεφαλήν. Ἡ μὲν τροφὸς εὐθὺς ἔρχεται καὶ ἐρωτᾷ με· "ὦ Ἀλέξανδρε, τί πάσχεις;" Λέγω δὲ αὐτῇ· "ἄρρωστός εἰμι καὶ ἀλγῶ τὴν κεφαλήν".



Φάρμακον δ′ οὐκ ἔχει, ἀλλὰ ᾄδει ἐπῳδὴν καὶ πτύει τρὶς εἰς τὸν κόλπον τὸν ἐμόν. Κοιμᾷ δέ με ἐπὶ τῆς κλίνης καὶ κλῄει μοι τοὺς ὀφθαλμοὺς καὶ λέγει· "ὦ φίλη κεφαλή, λέγω δὴ τῆς ὀδύνης παραμύθιον· εἰσὶν ἄνθρωποι οἳ



ἀλγῶ τὴν κεφαλήν = ἡ ὀδύνη τῆς κεφαλῆς

ἡ τροφός • ἔρχεται = προσβαίνει ⟶ • ὁ Ἀλέξανδρος

τί πάσχεις; = τί ἀλγεῖς;
ἄρρωστός εἰμι = ἀλγέω -ῶ

ὁ κόλπος : τὸ στῆθος



ᾄδει ἐπῳδήν
ἡ ἐπῳδή : τὸ παραμύθιον

κοιμάω : καθεύδω

κλῄει = κλείει



βλέπει φθόνῳ = βασκαίνει
βασκαίνει < ἡ βασκανία



φεύγει



ὁ λύκος

ἡ πέτρα





ἵππος πληττόμενος

τὸ νόσημα= ἡ ὀδύνη

τὸ πῶμα : τὸ φάρμακον



λούει τὸ τραῦμα τοῦ ποδὸς ὕδατι, ἐπειδὴ αἷμα ἔχει.

βασκαίνουσι τοὺς ἄλλους· αὐτοὺς γὰρ βλέπουσι φθόνῳ καὶ οὗτοι πολλὰς ὀδύνας ἔχουσιν. Φεῦγε, ὦ ὀδύνη κεφαλῆς, φεῦγε ὑπὸ πέτραν· φεύγουσι δὲ οἱ λύκοι, φεύγουσι δὲ οἱ ἵπποι πληττομένοι τῇ ἐπῳδῇ τῇ ἐμῇ. Οὐκ ἔχω φάρμακον, ἀλλὰ τὴν μυστικὴν ἐπῳδὴν, ἣν νῦν δὴ λέγω σοι ἐγώ".

Ἐγὼ δὲ αὐτῇ λέγω· "ὦ μάμμη, οὐκ ἔχω βασκανίαν· πρῳ ἐγὼ ἔπεσον ἀπὸ δένδρου καὶ ἔχω πολλὰ τραύματα· οὐ μόνον ἀλγῶ τὴν κεφαλὴν, ἀλλὰ καὶ ἀλγῶ τὸ στόμα καὶ τὸν πόδα."



ἐγὼ ἔπεσον ἀπὸ δένδρου

Ἔρχεται γὰρ ὁ ἰατρὸς εἰς τὴν οἰκίαν. Ἆρα ἐρωτᾷς τί ἐστιν *ἰατρός*; Λέγω δή· ὁ ἰατρὸς ἰάεται τὰ νοσήματα καὶ τὰ τραύματα τοῦ σώματος. Τὸ δ' ὄνομα τῷ ἰατρῷ Ἡρόδικός ἐστιν. Οὗτος δὲ προσέχει πῶμα τῇ ὀδύνῃ κεφαλῆς καὶ λούει τὸ τραῦμα τοῦ ποδὸς οἴνῳ καὶ ὕδατι, ἐπειδὴ τὸ τραῦμα αἷμα ἔχει.

Ὁ δὲ ἰατρὸς λέγει τάδε· "ἡ ὑγίεια τῶν σωμάτων γίγνεται περὶ τὴν δίαιταν· πρῴ μὲν ἐγὼ ἐξυπνίζομαι· ἔπειτα δὲ λούομαι τὸ σῶμα καὶ χέω ὕδωρ κατ' αὐτοῦ, κοσμῶ δὲ τὰς κόμας εὖ καὶ καθαίρω τοὺς ὀδόντας. Μετὰ δὲ ταῦτα ἐνδύομαι τὸν χιτῶνα καὶ τὰ πέδιλα. Εἶτα δὲ εὔχομαι τοῖς θεοῖς καὶ πορεύομαι εἰς τὸ ἔργον.

γίγνομαι < γίγνεται = ἐστί

ὑγίεια ↔ ἄρρωστον σῶμα



ἐγὼ ἐξυπνίζομαι ↔ ὑπνοῦμαι
ὑπνοῦμαι < ὁ ὕπνος



καθαίρω τοὺς ὀδόντας



χέω ὕδωρ
κοσμῶ τὰς κόμας




λούομαι





ἐνδύνομαι τὸν χιτῶνα καὶ τὰ πέδιλα



εὔχομαι τοῖς θεοῖς

Τῆς δὲ μεσημβρίας ἀνέρχομαι οἴκαδε καὶ ἐσθίω τὸ ἄριστον, ἴσως δὲ καὶ καθεύδω· μετὰ δὲ τὸν ὕπνον πορεύομαι πάλιν εἰς τὸ ἔργον. Πρὸς ἑσπέραν δ' ἀνέρχομαι εἰς δεῖπνον, καὶ εἶτα κοιμῶμαι."

πορεύομαι = ἔρχομαι, βαίνω


ἀνέρχομαι οἴκαδε = ἔρχομαι εἰς τὴν οἰκίαν

Ὁ δὲ λέγει καὶ τοῦτον τὸν μῦθον· "ὄνος ἀκούει τῆς φωνῆς τέττιγος καὶ αὐτῇ ἥδεται, καὶ τὸν τέττιγα ἐρωτᾷ· «τί ἐσθίεις ὡς ἔχειν οὕτω γλυκεῖαν τὴν φωνήν;» Ὁ δὲ τέττιξ


κοιμῶμαι = ὑπνοῦμαι < ὁ ὕπνος

γλυκεῖα φωνή : καλὴ φωνή

τῷ ὄνῳ ἀντιλέγει· «ἡ ἐμὴ τροφὴ ὁ ἀήρ ἐστι καὶ ἡ δρόσος».



Ὁ δὲ ὄνος ἀκούει τούτου τοῦ λόγου καὶ νομίζει εὑρίσκειν τὴν δίαιταν καὶ οὕτως ἔχειν τὴν ὅμοιαν φωνὴν τῷ τέττιγι· καὶ ὁ ὄνος τὸ στόμα εὐθὺς ἀνοίγει πρὸς τὸν ἀέρα καὶ δέχεται μόνον τὴν δρόσον εἰς τροφὴν καὶ τῷ λιμῷ διαφθείρεται."



ὁ ἀήρ

ἡ δρόσος

νομίζει εὑρίσκειν

ὅμοιος, α, ον   Α = Α

προσέχει ↔ δέχεται : ἐσθίει

διαφθείρομαι = ἀποθνῄσκω

ὁ λιμός = ἄνευ τροφῆς



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί ποιεῖ ἡ τροφός;

Ἐπῳδὴν ᾄδει καὶ πτύει τρίς εἰς τὸν κόλπον.

α'. Τί ἀλγεῖ ὁ Ἀλέξανδρος;

β'. Τίς ἔρχεται εἰς τὴν Ἀλεξάνδρου οἰκίαν;

γ'. Τίνι λούει ὁ ἰατρὸς τὸ τραῦμα τοῦ ποδός;

δ'. Πότε ἐξυπνίζεται ὁ ἰατρός;

ε'. Ποῦ ἀνέρχεται ὁ ἰατρὸς τῆς μεσημβρίας;

ΓΡΑΜΜΑΤΙΚΗ



Β΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Ἡ τροφὸς ἔχει φάρμακον		Χ
Ἡ τροφὸς πτύει δὶς εἰς τὸν κόλπον.		
Ὁ Ἀλέξανδρος ἔπεσεν ἀπὸ δένδρου.		
Ὁ ἰατρὸς λέγει περὶ τοῦ σώματος.		
Ὁ τέττιξ ἀέρα καὶ δρόσον τρέφει.		
Ὁ ὄνος ἔχει γλυκεῖαν φωνήν.		



Γ΄. Ἐν τῇ γλώττῃ σου.

α'. ἀλγῶ

ὦτα + ἀλγῶ καρδία + ἀλγῶ

νόστος + ἀλγῶ ἀν- + ἀλγῶ + -σις + -ικος

β'. ἰατρός

γέρων + ἰατρός φωνή + ἰατρός

ψυχή + ἰατρός ὀφθαλμός + ἰατρός



Δ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Λέγω αὐτῇ· "ἄρρωστός εἰμι".

α'. Ἀλγῶ τὴν κεφαλ____.

β'. Ὁ ὄνος ἀκούει τοῦ λόγ____ τοῦ τέττιγος.

γ'. Ἐγὼ εὔχομαι τοῖς θε____.

	τὴν χεῖρα	τὰς χεῖρας
ἀλγῶ	τὸν πόδα	τοὺς πόδας
	τὸ οὖς	τὰ ὦτα

	τῆς φωνῆς	τῶν φωνῶν
ἀκούω	τοῦ ἰατροῦ	τῶν ἰατρῶν
	τοῦ ὀρνιθίου	τῶν ὀρνιθίων

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ ποῦς	οἱ πόδες
τὸν πόδα	τοὺς πόδας
τοῦ ποδός	τῶν ποδῶν
τῷ ποδί	τοῖς ποσί(ν)

ὁ τέττιξ	οἱ τέττιγες
τὸν τέττιγα	τοὺς τέττιγας
τοῦ τέττιγος	τῶν τεττίγων
τῷ τέττιγι	τοῖς τέττιξι(ν)

(γ, κ, χ + σ = ξ)

τὸ σῶμα	τὰ σώματα
τοῦ σώματος	τῶν σωμάτων
τῷ σώματι	τοῖς σώμασι(ν)

[§ III.3.]

Ἡ μέση διάθεσις

	A	B_1
ἐγὼ	ἔρχομαι	κοιμῶμαι
οὗτος	ἔρχεται	κοιμᾶται
...		

[§ VII.1.γ'.]

δ'. Ὁ τέττιξ τῷ ὄν____ ἀντιλέγει.

ε'. Ὁ ὄνος τῷ λιμ____ διαφθείρεται.



Ε'. Πλήρωσον ταῖς καταλήξεσι.

. Ἔχω πολλὰ τραύματα.

α'. Ἀλγῶ τὸ στόμ____ καὶ τὸν πόδ____ .

β'. Ὁ ἰατρὸς ἰάεται τὰ τραύματ____ τοῦ σώματ____.

γ'. Λούει τὸ τραῦμ____ τοῦ ποδ____ οἴνῳ καὶ ὕδατ____.

δ'. Ἡ ὑγίεια τῶν σωμάτ____ γίγνεται περὶ τὴν δίαιταν.

ε'. Καθαίρω τοὺς ὀδόντ____.



ΣΤ'. Πλήρωσον ταῖς καταλήξεσι.

. Ἐγὼ εὐθὺς εἰς τὴν οἰκίαν ἔρχομαι.

α'. Ὁ ἰατρὸς τὰ τραύματα τοῦ σώματος ἰά____.

β'. Ἡ ὑγίεια γίγν____ περὶ τὴν δίαιταν.

γ'. Πρῷ ἐγὼ ἐξυπνίζ____ καὶ λού____ τὸ σῶμα.

δ'. Μετὰ τὸ δεῖπνον ἐγὼ κοιμ____.

ε'. Ὁ ὄνος τῷ λιμῷ διαφθείρ____.



Ζ′. Εὑρὲ τὸν λόγον.

. λούομαι	. τὰ νοσήματα
. κοσμῶ	. τοὺς ὀδόντας
. ἰάομαι	. τὸ σῶμα
. ἐνδύομαι	. τὰς κόμας
. δέχομαι	. τὸν χιτῶνα
. καθαίρω	. τὴν τροφήν




Η′. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.


	ἀλ.	ψευ.
Ὀνομάζουσι τὸν ἰατρὸν Ἡρόδικον.	Χ	
Ὁ Ἀλέξανδρός ἐστιν ἐπὶ τοῦ δίφρου.		
Ἡ Ἀλεξάνδρου κεφαλὴ ἔχει αἷμα.		
Ὁ ἰατρὸς πίνει πῶμα τῇ ὀδύνῃ κεφαλῆς.		
Ἡ Χαρὰ φέρει ὕδωρ καὶ οἶνον τῷ ἰατρῷ.		
Ὁ ἰατρὸς ἰάεται τὸ τραῦμα τοῦ Ἀλεξάνδρου.		

ΛΕΞΕΙΣ

ἀήρ, ἀέρος (ὁ)
αἷμα, ατος (τό)
βασκανία (ἡ)
δίαιτα (ἡ)
δρόσος (ἡ)
ἐπῳδή (ἡ)
θεός (ὁ)
ἰατρός (ὁ)
κόλπος (ὁ)
λύκος (ὁ)
μῦθος (ὁ)
νόσημα, ατος (τό)
ὀδούς, όντος (ὁ)
ὀδύνη (ἡ)
παραμύθιον (τό)
πέδιλον (τό)
πέτρα (ἡ)
πούς, ποδός (ὁ)
πῶμα, ατος (τό)
τέττιξ, -ιγγος (ὁ)
τραῦμα, ατος (τό)
ὑγίεια (ἡ)
ὕδωρ, ὕδατος (τό)
ὕπνος (ὁ)
φάρμακον (τό)
φθόνος (ὁ)
χιτών, ῶνος (ὁ)
ἄρρωστος, ον
γλυκύς, εῖα, ύ
μυστικός, ή, όν
πληττόμενος, η, ον
ᾄδω
ἀλγέω -ῶ
ἀνέρχομαι
ἀντιλέγω
βασκαίνω
γίγνομαι
δέχομαι
διαφθείρομαι
ἐνδύομαι
ἐξυπνίζομαι
ἔρχομαι
εὑρίσκω
εὔχομαι
ἥδομαι
ἰάομαι
καθαίρω
κλαίω
κοιμάω -ῶ
κοσμέω -ῶ
λούω
νομίζω
πάσχω
πορεύομαι
προσέχω
πτύω
φεύγω
χέω



ΤΑ ΜΕΡΗ ΤΟΥ ΣΩΜΑΤΟΣ (β')




Τὰ μέγιστα μέρη τοῦ σώματός ἐστιν ἡ κεφαλὴ καὶ ὁ τράχηλος καὶ ὁ θώραξ καὶ αἱ χεῖρες καὶ τὰ σκέλη.

ἐπὶ τῆς κορυφῆς = ἐπ' ἄκρου

τείνονται: εἰσίν


Ἐπὶ μὲν τῆς κορυφῆς τῆς κεφαλῆς τείνονται αἱ κόμαι. Κάτω δὲ τὸ μέτωπόν ἐστιν, ἐν ᾧ τείνονται αἱ ὀφρύες. Ὑπὸ δὲ ταῖς ὀφρύσιν εἰσὶ οἱ ὀφθαλμοί, οὓς περιέχει τὰ βλέφαρα, τὸ μὲν ἄνωθεν, τὸ δὲ κάτωθεν. Ἔνδον δὲ τοῦ ὀφθαλμοῦ ὁ κύκλος *ἶρις* καλεῖται· καὶ τοῖς ὀφθαλμοῖς βλέπομεν.


ἡ τομή < τέμνω

ὀσφραινόμεθα < ὀσφραίνομαι

Ἐν δὲ μέσῳ τοῦ προσώπου ἡ ῥίς ἐστιν, ᾗ ἡμεῖς ὀσφραινόμεθα· ἔστι γὰρ ἡ ὄσφρησις. Ὦτα δὲ καλοῦνται αἱ ἐξ ἑκατέρου μέρους τῆς κεφαλῆς, διὰ ὧν ἀκούομεν.

Καὶ ὑπὸ τῆς ῥινὸς τὸ στόμα ἐστὶν. Τὸ δὲ στόμα ἡ πρώτη τομή ἐστιν· ἔξω μέν ἐστι τὰ χείλη, ἔνδον δὲ ἡ γλῶττα καὶ οἱ ὄδοντες· μετὰ δὲ τὸ στόμα ἡ φάρυγξ ἐστίν. Ἐν γὰρ τῷ στόματι ἡ αἴσθησις τοῦ γεύματός ἐστιν.




αἱ πέντε αἰσθήσεις· ὄψις, ἀκοή, ὄσφρησις, γεῦμα καὶ ἀφή.


Ὑπὸ δὲ τοῦ τραχήλου οἱ ὦμοί εἰσιν, οἵ εἰσιν αἱ κεφαλαὶ τῶν βραχιόνων. Ἡ δὲ γωνία τοῦ βραχίονος πῆχυς καλεῖται. Ἕκαστος δὲ βραχίων χεῖρα ἔχει, καὶ δὲ ἑκάστη χεὶρ πέντε δακτύλους· τῶν δὲ δακτύλων ὁ μὲν μέγας, ὁ δὲ λιχανὸς ὁ πρῶτος τῶν τεττάρων, ὁ δὲ μέσος, ὁ δὲ παράμεσος, ὁ δὲ μικρός. Ἐν γὰρ τῇ χειρὶ ἡ αἴσθησις τῆς ἀφῆς ἐστιν.

ἕκαστος βραχίων: ὁ μὲν βραχίων..., ὁ δὲ ...

Τὸ μὲν νῶτον τὸ ὄπισθεν ἀπὸ τοῦ τραχήλου ἐστὶ, τὸ δὲ στῆθος τὸ ἔμπροσθεν. Οἱ δὲ μαστοί εἰσιν ἐπὶ τῷ στήθει· ἔνδον δὲ τοῦ στήθους ἡ καρδία καὶ οἱ πνεύμονες.



Τὸ δὲ σκέλος ἔχει μηρόν τε καὶ γόνυ καὶ πόδα. Τὸ δὲ γόνυ ἐστὶ τὸ ἄρθρον τοῦ μηροῦ. Ἡ δὲ πτέρνα ἐστὶ τὸ ὄπισθεν τοῦ ποδός. Οἱ δὲ τοῦ ποδὸς δάκτυλοι ὁμοίως τοῖς τῆς χειρὸς ὀνομάζονται.



ΓΡΑΜΜΑΤΙΚΗ

Ἡ μέση διάθεσις

	Α
ἐγὼ	ἔρχομαι
σὺ	ἔρχῃ / ἔρχει
οὗτος	ἔρχεται
...	
ἡμεῖς	ἐρχόμεθα
ὑμεῖς	ἔρχεσθε
οὗτοι	ἔρχονται
...	

	B_1	B_2
ἐγὼ	κοιμῶμαι	καλοῦμαι
σὺ	κοιμᾷ	καλῇ / καλεῖ
οὗτος	κοιμᾶται	καλεῖται
...		
ἡμεῖς	κοιμώμεθα	καλούμεθα
ὑμεῖς	κοιμᾶσθε	καλεῖσθε
οὗτοι	κοιμῶνται	καλοῦνται

[§ VII.1.γ΄.]

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ποῦ τείνονται αἱ κόμαι;
Τείνονται ἐπὶ τῆς κορυφῆς τῆς κεφαλῆς.

α'. Ποῦ τείνονται αἱ ὀφρύες;

β'. Ποῦ ἐστιν ἡ ἶρις;

γ'. Ποῦ ἐστι τὸ στόμα;

δ'. Ποῦ εἰσιν οἱ μαστοί;

ε'. Ποῦ ἐστιν ἡ καρδία;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. σῶμα, ατος

χρῶμα + σῶμα	ψυχή + σῶμα + -ικος
λίπος + σῶμα	σῶμα + λόγος

β'. ῥίς, ῥινός

ῥίς + λόγος	ῥίς + σκοπέω
ῥίς + ῥέω	ῥίς + πλαστής (πλάσσω)



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Αἱ κόμαι ἐπὶ τῆς κεφαλῆς τείν<u>ονται</u>.

α'. Ἡμεῖς τῇ ῥινὶ ὀσφραιν____.

β'. Ἡ γωνία τοῦ βραχίονος πῆχυς καλ ____.

γ'. Ὑπὸ τῆς ῥινὸς τὸ στόμα τείν____.

δ'. Οἱ δάκτυλοι καλ____· μέγας, λιχανὸς...

ε'. Οἱ δάκτυλοι τοῦ ποδὸς ὁμοίως ὀνομάζ____.



Δ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Αἱ ὀφρύες ἐν τῷ μετώπῳ τείνονται.

α'. Οἱ ὀφθαλμοί εἰσιν ὑπὸ ταῖς ὀφρύ____ .

β'. Τὸ στόμα ἐστὶν ὑπὸ τῆς ῥιν ____ .

γ'. Οἱ ὄδοντ____ ἐν τῷ στόματ____ εἰσιν.

δ'. Ἐν τῇ ἑκάστῃ χειρ____ πέντε δακτύλους ἔχομεν.

ε'. Ἡ καρδία καὶ οἱ πνεύμον____ ἔνδον τοῦ στήθ____ εἰσίν.



Ε΄. Εὑρὲ τὸν λόγον.

. Ὑπὸ τοῖς ὀφθαλμοῖς ἐστιν.	. τραχήλῳ
. Ἔχει γλῶτταν καὶ ὄδοντας.	. πνεύμονες
. Οἱ ὦμοί εἰσιν ὑπὸ τῷ ...	. ῥίς
. Τὸ ἔμπροσθεν τοῦ τραχήλου ἐστίν.	. στόμα
. Ἔνδον τοῦ στῆθους εἰσίν.	. δακτύλους
. Ἑκάστη χεὶρ πέντε ἔχει.	. στῆθος

ΓΡΑΜΜΑΤΙΚΗ

ἡ χείρ	αἱ χεῖρες
τὴν χεῖρα	τὰς χεῖρας
τῆς χειρός	τῶν χειρῶν
τῇ χειρί	ταῖς *χερσί*(ν)

ἡ ῥίς	αἱ ῥῖνες
τὴν ῥῖνα	τὰς ῥῖνας
τῆς ῥινός	τῶν ῥινῶν
τῇ ῥινί	ταῖς ῥισί(ν)

ὁ βραχίων	οἱ βραχίονες
τὸν βραχίονα	τοὺς βραχίονας
τοῦ βραχίονος	τῶν βραχιόνων
τῷ βραχίονι	τοῖς βραχίοσι

ὁ ὀδ*ούς*	οἱ ὀδόντες
τὸν ὀδόντα	τοὺς ὀδόντας
τοῦ ὀδόντος	τῶν ὀδόντων
τῷ ὀδόντι	τοῖς ὀδ*οῦσι*(ν)
	* οντ → ου

τὸ χεῖλος	τὰ χείλη
τοῦ χείλους	τῶν χειλῶν
τῷ χείλει	τοῖς χείλ*εσι*(ν)

[§ III.3.]

ΛΕΞΕΙΣ

αἴσθησις, εως (ἡ)
ἁφή (ἡ)
βλέφαρον (τό)
βραχίων, ονος (ὁ)
γεῦμα, ατος (τό)
γλῶττα (ἡ)
γωνία (ἡ)
θώραξ, ακος (ὁ)
ἶρις, ιδος (ἡ)
καρδία (ἡ)
κορυφή (ἡ)
λιχανός (ὁ)
μαστός (ὁ)
μέρος, ους (τό)
μηρός (ὁ)
ὄσφρησις, εως (ἡ)
ὀφρῦς, ύος (ἡ)
παράμεσος (ὁ)
πῆχυς, εος (ὁ)
πνεύμων, ονος (ὁ)
σκέλος, ους (τό)
τομή (ἡ)
φάρυγξ, υγγος (ἡ)
χεῖλος, ους (τό)
ἕκαστος, η, ον
καλέομαι –οῦμαι
ὀσφραίνομαι
τείνομαι



ΣΤ΄. Ἐπεῖπε τὴν ἀληθῆ ἀπάντησιν.

. Ἡ ὄψις ἐστὶν αἴσθησις ...

α) τοῦ ῥινός.

β) τῶν ὀφθαλμῶν.

γ) τοῦ στόματος.

Α. Ἐν τῷ στόματί ἐστι ...

α) ἡ ἀκοή.

β) ἡ ἁφή.

γ) τὸ γεῦμα.

Β. Ὀσφραινόμεθα ...

α) τοῖς ὠσί.

β) τῇ ῥινί.

γ) τοῖς ὀφθαλμοῖς.

Γ. Ἡ αἴσθησις τῶν ὤτων ἐστὶ...

α) ἡ ἀκοή.

β) ἡ ἁφή.

γ) τὸ γεῦμα.


Δ. Οἱ δάκτυλοί εἰσι·

α) μέγας, πρῶτος, μέσος, παράμεσος, μικρός.

β) μέγας, λιχανὸς, μέρος, παράμεσος, μικρός.

γ) μέγας, λιχανὸς, μέσος, παράμεσος, μικρός.






ΑΙ ΑΧΑΡΝΑΙ ΚΑΙ ΑΙ ΑΘΗΝΑΙ (α')

Τὸ μὲν χωρίον ἐν ᾧ οἰκοῦμεν ἐγώ τε καὶ οἱ ἄλλοι ἐν ταῖς Ἀχαρναῖς ἐστιν. Αἱ δ' Ἀχαρναί εἰσι δῆμος τῶν Ἀθηνῶν. Ἆρ' ἐρωτᾷς ἐμὲ τί ἐστι *δῆμος*; Λέγω δή· ἡ γῆ τῶν Ἀθηνῶν ἐστι πεδίον τε καὶ λόφοι. Καὶ ἐν ταῖς Ἀθήναις καὶ ἐν τῷ πεδίῳ καὶ ἐν τοῖς λόφοις εἰσὶ πολλοὶ δῆμοι, οἵ εἰσι μόρια τῶν Ἀθηνῶν· τὰ μέν ἐστιν ἐν ταῖς Ἀθήναις αὐταῖς, τὰ δὲ ἐν ταῖς κώμαις καὶ κατὰ τὸ πεδίον καὶ κατὰ τοὺς λόφους.

Πολλοὶ γάρ εἰσιν οἱ δῆμοι· ἕκαστος ἄρχει αὐτὸς ἑαυτοῦ, ἀλλὰ αἱ Ἀθῆναι κύριαί εἰσι τῶν δήμων. Ὀνομάζομεν δὲ δημότας τοὺς ἐν ἑκάστῳ τῷ δήμῳ· οἱ δὲ δημόται ἄρχουσιν αὐτοὶ ἑαυτῶν. Ὁ δὲ πρῶτος τῶν δημοτῶν δήμαρχός ἐστιν.



τὸ μόριον = τὸ μέρος

ἄρχει : κύριός ἐστιν
κύριος, α, ον : πρῶτος, η, ον


ὁ δημότης· οἰκεῖ ἐν δήμῳ

Ἀθῆναι ←→ Ἀχαρναί
ἄπεισιν ἑξήκοντα στάδια


Ἐνθένδε δ' ἀπὸ τοῦ δήμου Ἀχαρνῶν ὁρῶμεν τὰς Ἀθήνας· αἱ Ἀθῆναι μακρὰν ἄπεισι τῶν Ἀχαρνῶν, στάδια ἑξήκοντα, ἀλλὰ φανεραί εἰσιν ἀπὸ τῆς κώμης, ἐν ᾗ οἰκῶ μετὰ τοῦ τ' ἀδελφοῦ καὶ τῆς ἀδελφῆς καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ τῶν ἄλλων.

φανερός, ά, όν < φαίνομαι
φαίνεται : βλέπεται

ὁ ναός




Φαίνεται δ' ἐνθένδε ἡ ἀκρόπολις πέτρα, ἥ ἐστιν ἐν μέσῃ τῇ πόλει, καὶ ἐπὶ τῆς ἀκροπόλεως ναοί εἰσι πολλοὶ, τῆς τ' Ἀθήνης καὶ τῶν ἄλλων θεῶν. Ἐν δὲ ταῖς Ἀθήναις φανερός ἐστιν ὁ ναὸς τῆς Ἀθήνης, ὅς ἐστιν ἐπὶ πέτρας. Ἡ μὲν γὰρ Ἀθήνη θεός ἐστιν, ἡμεῖς δὲ εὐχόμεθα τῇ Ἀθήνῃ καὶ ἄλλοις θεοῖς.


ἡ Ἀκρόπολις

ὁ λίθος = ἡ πέτρα

ἡ ὀροφή = ἡ στέγη


ἡ θάλαττα

σύνοπτος : φανερός

Εἰς δὲ τὴν Ἀκρόπολίν ἐστιν εἴσοδος μία· ἑτέραν δ' οὐκ ἔχει. Τὰ δὲ Προπύλαια λίθου λευκοῦ τὴν ὀροφὴν ἔχει. Ἐν δὲ δεξιᾷ τῶν Προπυλαίων ἐστὶν ὁ τῆς Νίκης Ἀπτέρου ναός. Ἐντεῦθεν ἡ θάλαττά ἐστι σύνοπτος, καὶ δὴ καὶ τὸν Πειραιᾶ.

Ἔστι δ' ἐν ἀριστερᾷ τῶν προπυλαίων οἴκημα, ὃ ἔχει γραφάς. Ἔστι δ' ἔμπροσθεν ναὸς τῆς Ἀθήνης μέγιστος καὶ κάλλιστος· τὸ ὄνομα αὐτῷ Παρθενών ἐστιν. Περιέχει δὲ τὴν ἀκρόπολιν τὰ τείχη οἰκοδομούμενα μετὰ τὰ Μηδικά. Ταῦτα δὲ τὰ τείχη ἔχει ὕψος πήχεις μάλιστα τριάκοντα.

Πολλάκις δ' ἄγομεν ἑορτὰς καὶ Ἀθήνησι καὶ κατ' ἀγρούς· ᾄδομεν, χορεύομεν, σφάζομεν ἱερὰ, ἐσθίομεν, πίνομεν. Τί δ' οὐ ποιοῦμεν ἐν ταῖς ἑορταῖς; Ἐν μὲν τοῖς Παναθηναίοις πομπή ἐστι λαμπροτάτη, ἐν δὲ τοῖς Διονυσίοις φοιτῶμεν εἰς τὸ θέατρον· καὶ ἀεὶ χαίρομεν.

τὸ οἴκημα : ὁ ναός, ἡ οἰκία


ἡ γραφή < γράφω

κάλλιστος = πολὺ / μάλα καλός


οἰκοδομούμενα < οἰκοδομεῖται
οἰκοδομέω = δέμω/ποιῶ οἰκήματα

Ἀθήνησι = ἐν ταῖς Ἀθηναῖς



χορεύω



σφάζομεν ἱερὰ


λαμπροτάτη πομπή


τὸ ὕψος

φοιτάω : βαίνω πολλάκις


τὸ θέατρον


ἡ ἑορτή

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ πατήρ	οἱ πατέρες
τὸν πατέρα	τοὺς πατέρας
τοῦ πατρός	τῶν πατέρων
τῷ πατρί	τοῖς πατράσι(ν)
ἡ μήτηρ	αἱ μητέρες
τὴν μητέρα	τὰς μητέρας
τῆς μητρός	τῶν μητέρων
τῇ μητρί	ταῖς μητράσι(ν)
ἡ πόλις	αἱ πόλεις
τὴν πόλιν	τὰς πόλεις
τῆς πόλεως	τῶν πόλεων
τῇ πόλει	ταῖς πόλεσι(ν)

[§ III.3.]

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ποῦ εἰσιν οἱ δῆμοι;
Οἱ δῆμοί εἰσιν ἐν ταῖς Ἀθηναῖς καὶ ἐν ταῖς κώμαις.

α'. Τί βλέπουσιν ἀπὸ τῶν Ἀχαρνῶν;

β'. Τίς ἐστιν ἡ Ἀθήνη;

γ'. Τί περιέχει τὴν ἀκρόπολιν;

δ'. Τί ποιοῦσιν ἐν ταῖς ἑορταῖς;

ε'. Ποῖ φοιτῶσιν ἐν τοῖς Διονυσίοις;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. δῆμος

δῆμος + κράτος	δῆμος + γράφω
ἐπί + δῆμος	πᾶν + δήμος

β'. πόλις

μήτηρ + πόλις	κόσμος + πόλις + -της
πόλις + -(τ)εια	νεκρός + πόλις



Γ΄. Πλήρου σὺν ταῖς καταλήξεσι.

. Οἰκῶ μετὰ τοῦ πατρ<u>ὸς</u> καὶ τῆς μητρ<u>ός</u>.

α'. Ἡ Ἀκρόπολ____ ἐστιν ἐν μέσῃ τῇ πόλ____.

β'. Πολλοὶ ναοί εἰσιν ἐπὶ τῆς ἀκροπόλ____.

γ'. Τὸ οἴκημ____ ἔχει γραφάς.

δ'. Τὰ τείχ____ τὴν ἀκρόπολ____ περιέχει.

ε'. Τὰ τείχ____ ἔχει ὕψος πήχ____ τριάκοντα.



Δ΄. Γράφει τὴν πρόθεσιν.

κατὰ	~~ἐν~~	εἰς	κατὰ	ἐπὶ	ἀπὸ	ἐν

α'. Μόριά ἐστιν ἐν ταῖς κώμαις καὶ ____ τὸ πεδίον καὶ ____ τοὺς λόφους.

β'. Αἱ Ἀχαρναί εἰσι φανεραὶ ____ τῆς κώμης.

γ'. Πολλοὶ ναοί εἰσιν ____ τῆς ἀκροπόλεως.

δ'. ____ τοῖς Διονυσίοις φοιτῶμεν ____ τὸ θέατρον.



Ε΄. Τί ἐστι ψευδές;

. θεός – λόφος – ~~μητρός~~ – δήμαρχος

α'. ἔχει – πόλει – ἄρχει – περιέχει

β'. τείχη – κώμη – πομπή – ὀροφή

γ'. ναός – δῆμος – πατρός – ἀδελφός

δ'. πέτρα – οἴκημα – θάλαττα – δεξιά



ΣΤ΄. Εὑρὲ τὸν λόγον.

Α. οἱ δημόται → **γ.**

Β. ὁ δήμαρχος

Γ. ὁ τῆς Ἀθήνης ναὸς

Δ. ὁ τῆς Νίκης Ἀπτέρου ναὸς

Ε. τὰ τείχη

α. ὁ πρῶτος τῶν δημοτῶν ἐστιν.

β. ἐν δεξιᾷ τῶν Προπυλαίων ἐστίν.

γ. ἐν τοῖς δήμοις οἰκοῦσιν.

δ. μετὰ τὰ Μηδικὰ οἰκοδομεῖται.

ε. ἐπὶ τῆς ἀκροπόλεως ἐστίν.


ΛΕΞΕΙΣ

ἀκρόπολις, εως (ἡ)
Ἀθῆναι (αἱ)
Ἀχαρναί (αἱ)
γραφή (ἡ)
δήμαρχος (ὁ)
δῆμος (ὁ)
δημότης (ὁ)
εἴσοδος (ἡ)
ἑορτή (ἡ)
θάλαττα (ἡ)
θέατρον (τό)
ἱερόν (τό)
μόριον (τό)
ναός (ὁ)
οἴκημα, ατος (τό)
ὀροφή (ἡ)
πεδίον (τό)
πομπή (ἡ)
στάδιον (τό)
τείχος, ους (τό)
ὕψος, ους (τό)
κάλλιστος, η, ον
κύριος, α, ον
λαμπρός, ά, όν
σύνοπτος, ον
φανερός, ά, όν
ἄπειμι
ἄρχω
σφάζω
φαίνομαι
φοιτάω -ῶ
χορεύω
Ἀθήνησι



Ζ΄.Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Ὁ Ἀλέξανδρος καὶ ἡ Ἑλένη λαλοῦσιν.	X	
Οἰκοῦσιν ἐν ταῖς Ἀθηναῖς.		
Ὁρῶσι τὰς Ἀθήνας καὶ τὴν ἀκρόπολιν.		
Ὁ τῆς Νικῆς Ἀπτέρου ναός ἐστι πρῶτος.		
Τὸ Ἐρέχθειον μέγιστος καὶ κάλλιστος ναός ἐστι.		
Ἔρχονται εἰς τὰς Ἀθήνας ἐν τοῖς Παναθηναίοις		





ΤΑ ΠΑΝΑΘΗΝΑΙΑ (β')

Τὰ Μεγάλα Παναθήναια ἀνὰ τέτταρα ἔτη γίγνεται, πέμπτῳ δὴ ἔτει. Ἔστιν μὲν ἀγὼν μουσικῆς, ἐν ᾧ οἱ ῥαψῳδοὶ λέγουσι τὰ τοῦ Ὁμήρου, καὶ κιθαρῳδοὶ κιθαρίζουσι καὶ αὐλῳδοὶ αὐλοῦσιν· ἔστι δὲ καὶ γυμνικὸς ἀγὼν παίδων τε καὶ ἀγενείων καὶ ἀνδρῶν· ἀγωνίζονται δ' οἱ μὲν παῖδες οὐ πλέον ἢ ἑκκαίδεκα ἐτῶν, οἱ δὲ ἀγένειοι μεχρὶ τῶν εἴκοσιν, οἱ δ' ἄνδρες πλέον τῶν εἴκοσιν. Τούτοις δ' οἱ ἀγῶνες εἰσὶ στάδιον, πένταθλον, πυγμὴ, πάλη, παγκράτιον, δίαυλος, ἵππιος τε καὶ ὁπλίτης. Ἔστι δὲ καὶ ἱππικὸς ἀγών.


τὸ ἔτος· θέρος, φθινόπωρον, χειμών καὶ ἔαρ.



ὁ κιθαρῳδὸς κιθαρίζει,
ὁ αὐλῳδὸς αὐλεῖ


τὸ γένειον


ἡ γυνή ↔ ὁ ἀνήρ
ὁ παῖς = τὸ παιδίον
ἀγένειος, ον : οὐκ ἔχει γένειον

πλέον = +
μεχρί : οὐ πλέον


ἡ πυγμή　　τὸ στάδιον


ἵππιος
ὁ ἱππικὸς ἀγών
ὁ δίαυλος
ὁπλίτης
ὁ ὁπλιτοδρόμος


ἡ πάλη　　τὸ παγκράτιον



Μετὰ δὲ τῶν ἀγώνων πυρριχισταὶ καὶ λαμπαδηδρομία εἰσίν. Μετὰ δὲ τὴν λαμπαδηδρομίαν παννυχίς ἐστιν, χοροί τε καὶ ᾠδαί.




Τῇ δὲ ὑστεραίᾳ ἡμέρᾳ ἐστὶν πομπή, ἣν πέμπουσιν αἱ γυναῖκες κανηφόροι καὶ οἱ ἱερεὶς καὶ οἱ τῶν ἀγώνων νικηταὶ καὶ ἄλλοι πολλοί.

ἡ παννυχίς· ἑορτὴ τῆς νυκτός


ἔστι χοροὶ : χορεύουσιν

προσφέρω : φέρω

Ἐν δὲ τῇ τῶν Παναθηναίων πομπῇ προσφέρουσι τῇ Ἀθήνῃ τὸν πέπλον, ὃς ἄγεται κατὰ τὰς ὁδοὺς τῶν Ἀθηνῶν ἐπὶ τὴν ἀκρόπολιν. Μετὰ δὲ ταῦτα ἐστὶν ἑστίασις τῶν Ἀθηναίων, καὶ ναυτικὸς ἀγὼν ἐν τῷ Πειραιεῖ.



Ἆρα ἐθέλεις διηγεῖσθαι τὰ περὶ τῶν ἀγώνων καθ' ἕκαστον; Λέγω δή·



ναυτικὸς ἀγών

Τὸ μὲν στάδιον ἐστὶ ἀγών τε καὶ τόπος. Ὁ δὲ τόπος ὁ στάδιον καλούμενος ὥσπερ θέατρόν ἐστιν, ἀλλὰ ἔχει δύο μακρὰ κέρατα καὶ δρόμον ἑξακοσίων ποδῶν. Ἑδώλια δ' ἐστὶ ἐπὶ τὰ κέρατα, ἐν οἷς πολὺς ὄχλος καθίζεται. Ἐν δὲ τῇ γῇ γραμμή ἐστιν, ἣ ὀνομάζεται βαλβίς· οἱ ἀγωνισταὶ ἀπὸ τῆς βαλβῖδος πρὸς τὸ τέρμα ἀπέρχονται. Τὸ δὲ στάδιον ὀνομάζεται καὶ *δρόμος*.

οἱ ἀγωνιζόμενοι = οἱ ἀγωνισταί


πολὺς ὄχλος = πολλοὶ ἄνθρωποι

ἡ βαλβίς : ἡ ἀρχή



Τὸ δὲ πένταθλον πέντε ἀγῶνας περιέχει· ἅλμα, δρόμον, δίσκον, ἄκοντα καὶ πάλην. Οἱ γὰρ ἀγωνιζόμενοι ἅλλονται, τρέχουσι, βάλλουσι δίσκον καὶ ἄκοντα, καὶ παλαίουσιν. Ὁ νικῶν τρεῖς τῶν πέντε ἀγώνων νικᾷ τὸ πένταθλον.





Ἐν δὲ τῇ πάλῃ ὁ παλαιστὴς οὐ ῥᾳδίως λαμβάνει τὸν ἀνταγωνιστὴν, ἐπειδὴ οἱ παλαισταὶ ἀλείφονται ἐλαίῳ. Ὁ δὲ τρὶς ἐπὶ τὴν γῆν καταβάλλων τὸν ἕτερον νικᾷ.

ῥᾳδίως < ῥᾴδιος ↔ χαλεπός

ὁ ἀνταγωνιστής : ὁ ἄλλος παλαιστής


ἀλείφονται ἐλαίῳ



περιειλίττονται ἱμάντας, ὥστε τὰς χεῖρας γίγνεσθαι σφαίρας : περιειλίττονται ἱμάντας· αἱ οὖν χεῖρες γίγνονται σφαῖραι

ἕως = μεχρί

ἀπολέγομαι ↔ νικάω

διπλοῦς δρόμος : δύο δρόμοι

στρέφομαι 

Ἐν δὲ πυγμῇ πὺξ μάχονται· οἱ πυγμάχοι ἱμάντας περιειλίττονται, ὥστε τὰς χεῖρας γίγνεσθαι σφαίρας. Ἀγωνίζονται ἕως ὁ ἕτερος πύκτης ἐπὶ τὴν γῆν πίπτει ἢ ἀπολέγεται.

Ἐν δὲ τῷ παγκρατίῳ μάχονται πύξ τε καὶ παλαίουσιν οἱ ἀγωνιζόμενοι. Μάχονται δὲ καὶ ἕως ὁ ἕτερος παγκρατιαστὴς ἀπολέγεται.


Ὁ δὲ δίαυλος διπλοῦς δρόμος ἐστὶν, ἀπό τε τῆς βαλβῖδος ἐπὶ τὸ τέρμα, καὶ ἐπεὶ στρέφονται περὶ τὸ τέρμα, ἔρχονται πάλιν ἀπὸ τοῦ τέρματος πρὸς τὴν βαλβῖδα. Ὁ δ' ἵππιος διπλοῦς δίαυλος ἵπποις ἐστίν. Ἀγὼν δέ ἐστι καὶ ἄλλος τῶν ὁπλιτῶν, οἳ πάντα τὰ ὅπλα ἔχουσιν· ὁπλιτοδρόμος ἐστίν

Ταῦτα δή ἐστι περὶ τῶν ἀγώνων ἐν τοῖς Παναθηναίοις.

Ἐν δὲ τῷ εὐανδρίας ἀγῶνί εἰσι καλλίστοι τε καὶ μεγίστοι ἄνδρες. Καὶ δὲ οἱ πυρριχισταὶ πυρρίχην χορεύουσιν ἐν ὅπλοις, παίοντες τὰς ἀσπίδας τοῖς ξίφεσιν.

Ἐν δὲ τῇ λαμπαδηφορίᾳ ἢ λαμπαδηδρομίᾳ εἰσὶ δύο στίχοι ἢ πλέον.

Πρῶτον μὲν ἀπέρχεται ὁ πρῶτος ἔχων λαμπάδα φλέγουσαν· ἀφικνούμενος δὲ ὡς τὸν δεύτερον, αὐτὸς μὲν παύει τρέχων, ὁ δὲ δεύτερος λαμβάνει τὴν λαμπάδα, ἣν φέρει ὡς τὸν τρίτον· ὁ δ᾽ ὕστατος ἀφικνεῖται πρὸς τὸ τέρμα. Νικᾷ δὲ οὗτος ὁ στίχος, ὃς ἀφικνεῖται πρῶτος πρὸς τὸ τέρμα.



ὡς τὸν δεύτερον = πρὸς τὸν δεύτερον

παύει τρέχων : οὐ τρέχει πλέον

ἀφικνεῖται : ἔρχεται



ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Πότε γίγνεται τὰ Μεγάλα Παναθήναια;

Γίγνεται ἀνὰ τέτταρα ἔτη.

α'. Τίνες ἀγωνίζονται ἐν τοῖς ἀγῶσιν;

β'. Τίνες ἀγῶνές εἰσιν;

γ'. Πότε φέρουσι τῇ Ἀθήνῃ τὸν πέπλον;

δ'. Διὰ τί οὔκ ἐστι ῥᾴδιος λαμβάνειν τὸν ἀνταγωνιστὴν ἐν τῇ πάλῃ;

ε'. Πῶς χορεύουσιν οἱ πυρριχισταί;

ΓΡΑΜΜΑΤΙΚΗ



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ἀνήρ

ἀνήρ + λόγος	ἀνήρ + εἶδος
ἀνήρ + παύω	ἀνήρ + οἰκία

β'. γυνή

γυνή + λόγος	γυνή + κράτος
ἀνήρ + γυνή	γυνή + οἰκία



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

ὁ ἀνήρ	οἱ ἄνδρες
τὸν ἄνδρα	τοὺς ἄνδρας
τοῦ ἀνδρός	τῶν ἀνδρῶν
τῷ ἀνδρί	τοῖς ἀνδράσι
ἡ γυνή	αἱ γυναῖκες
τὴν γυναῖκα	τὰς γυναῖκας
τῆς γυναικός	τῶν γυναικῶν
τῇ γυναικί	ταῖς γυναιξί
ὁ παῖς	οἱ παῖδες
τὸν παῖδα	τοὺς παῖδας
τοῦ παιδός	τῶν παιδῶν
τῷ παιδί	τοῖς παισί

[§ III.3.]

. Ἔστι γυμνικὸς ἀγὼν παιδῶν τε καὶ ἀγενείων καὶ ἀνδρῶν.

α'. Ἀγωνίζονται οἱ παῖδ____ μεχρὶ ἑκκαίδεκα ἐτῶν καὶ οἱ ἄνδρ____ πλέον τῶν εἴκοσιν.

β'. Πέμπουσιν αἱ γυναῖκ____ κανηφόρος, οἱ ἱερ____ καὶ ἄλλοι πολλοί.

γ'. Οἱ ἀγωνισταὶ ἀπὸ τῆς βαλβῖδ____ πρὸς τὸ τέρμα ἀπέρχονται.

δ'. Ἔρχονται ἀπὸ τοῦ τέρματ____ πρὸς τὴν βαλβῖδ____.

ε'. Ἐν τῷ εὐανδρίας ἀγῶν____ εἰσὶν καλλίστοι καὶ μεγίστοι ἄνδρ____.

Μετοχή [§ VII.9.]

ἔχω		ἀγωνίζομαι	
ὁ ἔχων	οἱ ἔχοντες	ὁ ἀγωνιζ*όμενος*	οἱ ἀγωνιζ*όμενοι*
ἡ ἔχουσα	αἱ ἔχουσαι	ἡ ἀγωνιζ*ομένη*	αἱ ἀγωνιζ*όμεναι*
τὸ ἔχον	τὰ ἔχοντα	τὸ ἀγωνιζ*όμενον*	τὰ ἀγωνιζ*όμενα*

καλοῦμαι → καλοῦμενος, η, ον

ὁ καταβάλλων : ὃς καταβάλλει

καταβάλλων : ἐν ᾧ καταβάλλει

παύει τρέχων : οὐ τρέχει πλέον



Δ′. Τί ἐστιν ἀληθές;

. Ὁ τόπος ὁ στάδιον καλούμενος ὥσπερ θέατρόν ἐστιν.

- Ὁ τόπος στάδιον καλεῖται καὶ ὥσπερ θέατρόν ἐστιν.

- Ὁ τόπος, ὃς στάδιον καλεῖται, ὥσπερ θέατρόν ἐστιν.

α′. Οἱ ἀγωνιζόμενοι πὺξ ἐν τῷ παγκρατίῳ μάχονται.

- Οἳ ἀγωνίζονται πὺξ ἐν τῷ παγκρατίῳ μάχονται.
- Οὗτοι ἀγωνίζονται καὶ πὺξ ἐν τῷ παγκρατίῳ μάχονται.

β′. Ὁ νικῶν τρεῖς τῶν πέντε ἀγώνων νικᾷ τὸ πένταθλον.

- Οὗτος νικᾷ τρεῖς τῶν πέντε ἀγώνων καὶ νικᾷ τὸ πένταθλον.
- Ὃς νικᾷ τρεῖς τῶν πέντε ἀγώνων, νικᾷ τὸ πένταθλον.

γ′. Οἱ πυρριχισταὶ χορεύουσι παίοντες τὰς ἀσπίδας τοῖς ξίφεσιν.

- Οἱ πυρριχισταί, οἳ παίουσι τὰς ἀσπίδας τοῖς ξίφεσι, χορεύουσιν.
- Οἱ πυρριχισταὶ χορεύουσι, ἐν ᾧ παίουσι τὰς ἀσπίδας τοῖς ξίφεσιν.

δ′. Ἀπέρχεται ὁ πρῶτος ἔχων λαμπάδα φλέγουσαν.

- Ἀπέρχεται ὁ πρῶτος, ὃς ἔχει λαμπάδα φλέγουσαν.
- Ἀπέρχεται ὁ πρῶτος, ἐν ᾧ ἔχει λαμπάδα φλέγουσαν.

ΛΕΞΕΙΣ

ἀγών, ῶνος (ὁ)
ἄκων, οντος (ὁ)
ἅλμα, ατος (τό)
ἀνήρ, ἀνδρός (ὁ)
ἀνταγωνιστής (ὁ)
ἀσπίς, ίδος (ἡ)
αὐλῳδός (ὁ)
βαλβίς, ῖδος (ἡ)
γραμμή (ἡ)
γυνή, γυναικός (ἡ)
δίαυλος (ὁ)
δίσκος (ὁ)
δρόμος (ὁ)
ἑστίασις, εως (ἡ)
ἔτος, ους (τό)
εὐανδρία (ἡ)
ἱερεύς, έως (ὁ)
ἱμάς, ἱμάντος (ὁ)
κέρας, κέρως (τό)
κιθαρῳδός (ὁ)
λαμπαδηδρομία (ἡ)
λαμπαδηφορία (ἡ)
λαμπάς, άδος (ἡ)
μουσική (ἡ)
νικητής (ὁ)
ξίφος, ους (τό)
ὁπλίτης (ὁ)
ὅπλον (τό)
ὄχλος (ὁ)
παγκρατιαστής (ὁ)
παγκράτιον (τό)
παῖς, παιδός (ὁ, ἡ)
παλαιστής (ὁ)
πάλη (ἡ)
παννυχίς, ίδος (ἡ)
πένταθλον (τό)
πύγμαχος (ὁ)



Ε΄. Πλήρωσον τοῖς ῥήμασιν.

. Τὰ Μεγάλα Παναθήναια ἀνὰ τέτταρα ἔτη γίγνεται (γίγνομαι).

α'. Οἱ κιθαρῳδοὶ ________ (κιθαρίζω) καὶ οἱ αὐλῳδοὶ ________ (αὐλῶ).

β'. Τὸ στάδιον __________ (ὀνομάζομαι) καὶ δρόμος.

γ'. Οἱ παλαισταὶ ________ (ἀλείφομαι) ἐλαίῳ.

δ'. Οἱ ἀγωνισταὶ ________ (ἀπέρχομαι) ἀπὸ τῆς βαλβῖδος ἐπὶ τὸ τέρμα.

ε'. Ὁ ὕστατος ________ (ἀφικνοῦμαι) πρὸς τὸ τέρμα.



ΣΤ΄. Εὑρὲ τὸν λόγον.

Α'. τὸ στάδιον	γ'
Β'. ἐν τῇ πυγμῇ	
Γ'. ἐν τῇ πομπῇ	
Δ'. ἐν τῇ λαμπαδηδρομίᾳ	
Ε'. οἱ πυρριχισταὶ	

α. προσφέρουσι τῇ Ἀθήνῃ πέπλον.

β. τρέχουσι φέροντες λαμπάδα.

γ. ἔχει δρόμον ἑξακοσίων ποδῶν.

δ. παίουσι τὰς ἀσπίδας τοῖς ξίφεσι.

ε. πὺξ μάχονται.



Ζ΄. Τάξον τοὺς λόγους· εἰσὶ δύο λόγοι ἐπὶ πλέον.

α΄. Ἐν τῷ γυμνικῷ ἀγῶνι ἀγωνίζονται παῖδες τε καὶ ἀγένειοι καὶ ἄνδρες.

β΄. Οἱ παλαισταὶ ἀλείφονται ἐλαίῳ.

γ΄. Τὰ Μεγάλα Παναθήναια γίγνεται ἀνὰ τέτταρα ἔτη.

δ΄. Τὸ στάδιον ἀγών τε καὶ τόπος ἐστίν.


ε΄. Τὸ πένταθλον πέντε ἀγῶνας περιέχει.

στ΄. Ἐν τῇ πομπῇ προσφέρουσι τῇ Ἀθήνῃ τὸν πέπλον.

ζ΄. Οἱ πυρριχισταὶ χορεύουσιν ἐν ὅπλοις.

I	II	III	IV	V
γ΄				

πυγμή (ἡ)
πύκτης (ὁ)
πυρριχή (ἡ)
πυρριχιστής (ὁ)
σφαίρα (ἡ)
τέρμα, ατος (τό)
χορός (ὁ)
ἀγένειος, ον
γυμνικός, ή, όν
διπλοῦς, οῦν
ἱππικός, ή, όν
ἵππιος, α, ον
κανήφορος, ον
ναυτικός, ή, όν
ὁπλιτοδρόμος
πᾶς, πᾶσα, πᾶν
πέμπτος, η, ον
ὕστατος, η, ον
ἀγωνίζομαι
ἀλείφω
ἅλλομαι
ἀπέρχομαι
ἀπολέγομαι
αὐλέω -ῶ
ἀφικνοῦμαι
βάλλω
διηγοῦμαι
καταβάλλω
κιθαρίζω
μάχομαι
νικάω -ῶ
παλαίω
παύω
πέμπω
περιειλίττω
προσφέρω
στρέφω
τρέχω
φλέγω
πλέον
πύξ
ῥᾳδίως




ὁ ἀρότης ἀροῖ τὴν γῆν τῷ ἀρότρῳ καὶ ἐλαύνει τοὺς βοῦς τὸ ἄροτρον

ΟΙ ΕΡΓΑΤΑΙ (α′)

Ἐν τῷ χωρίῳ ἡμῶν εἰσι πολλοὶ ἐργάται, οἳ μισθὸν δέχονται. Ἄλλος μὲν ἀρότης ἐστὶ καὶ ἀροῖ τὴν γῆν τῷ ἀρότρῳ· ἄλλος δὲ μακέλην ἔχων σκάπτει· ἄλλος δ' ἀξίνῃ κατατέμνει τὰ δένδρα καὶ συλλέγει τὰ φρύγανα· ἄλλοι δὲ φυλάττουσι τὰ πρόβατα καὶ τὰ ἄλλα ζῷα· τὰ γὰρ πρόβατα εὑρίσκει ῥᾳδίως τὴν τροφὴν κατὰ τοὺς ἀγρούς, ἀλλὰ τρέφομεν τοὺς ἵππους καὶ τοὺς ὄνους καὶ τοὺς ἡμιόνους καὶ τοὺς χοίρους.

ὁ ἐργάτης : ὁ γεωργός

ὁ μισθός





σκάπτει = ὀρύττει τῇ μακέλῃ



κατατέμνει τὰ δένδρα ἀξίνῃ



συλλέγει τὰ φρύγανα

Οἱ δὴ χοίροι ἐσθίουσι τὰ λείψανα τῆς ἀνθρωπίνης τροφῆς. Καταβάλλουσι δὲ ταῦτα τὰ λείψανα εἰς τὰς πυέλους, οἱ δὲ χοῖροι, κοΐζοντες καὶ γρυλίζοντες, ἐσθίουσιν ἐν ταῖς πυέλοις, καὶ τρώγουσιν πάντα ἃ ἐμβάλλουσιν. Ἡμεῖς δ᾽ οὐχ οὕτως ἐσθίομεν, ἀλλὰ κατὰ κόσμον· εἰ δὲ μή, πληγὰς λαμβάνομεν.

Ἀρ᾽ ἀγνοεῖς τί ἐστιν *ἄροτρον* καὶ τὰ ἄλλα; Λέγω δή· τὸ μὲν ἄροτρόν ἐστιν ὄργανον τοῦ γεωργοῦ, ᾧ ἀροῖ τὴν γῆν· ἀρῶν δὲ τὴν γῆν τί ποιεῖ; Καταβάλλει μὲν τὸ κάτω τοῦ ἀρότρου εἰς τὴν γῆν· ἕλκουσι δὲ τὸ ἄροτρον οἱ βόες, καὶ ὁ ἀρότης ἐλαύνει τοὺς βοῦς.

Μετὰ δὲ ταῦτα ἄλλος σπείρει τὰ σπέρματα· ὁ δὲ θεριστὴς θερίζει τὸν σῖτον, ἐπεί ἐστιν ἐν ἀκμῇ. Τὸ δ᾽ ὄργανον τοῦ θεριστοῦ δρέπανόν ἐστιν, ᾧ τέμνει τὸν σῖτον. Μετὰ δὲ ταῦτα δέουσιν ἐν δεσμοῖς τοὺς καλάμους τοῦ σίτου.

Μακέλη δ᾽ ἄλλο ὄργανόν ἐστιν, ᾧ ὀρύττουσιν, ὥστε φυτεύειν δένδρα καὶ ἄλλα ἐν τοῖς κήποις. Ἀξίνην δ᾽ ἔχοντες κατατέμνουσι τὰ δένδρα, καὶ τὰ φρύγανά ἐστι ξύλα πρὸς τὸ καίειν.





ὁ χοῖρος ἐσθίει ἐν ταῖς πυέλοις

ὁ χοῖρος κοΐζει· «κοΐ κοΐ» : γρυλίζει


τρώγουσιν : ἐσθίουσιν


ἐμβάλλω = βάλλω ἔνδον

κατὰ κόσμον : καλῶς




σπείρει καὶ θερίζει τὸν σῖτον, ἐπεί ἐστιν ἐν ἀκμῇ





δέουσιν ἐν δεσμοῖς τοὺς καλάμους



φρύγανα = ξύλα πρὸς τὸ καίειν

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τίνες δέχονται μισθόν;
Οἱ ἐργάται δέχονται μισθόν.

α'. Τί ἀροῖ ὁ ἀρότης;

β'. Ποῦ ἐσθίουσιν οἱ χοίροι;

γ'. Πῶς ἐσθίουσιν οἱ ἄνθρωποι;

δ'. Πότε θερίζει ὁ θεριστὴς τὸν σῖτον;

ε'. Τίνι κατατέμνουσι τὰ δένδρα;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ἄλλος

ἄλλος + μορφή ἄλλος + φωνή

ἄλλος + ἔργον ἄλλος + γένος

β'. σπείρω – τὸ σπέρμα

σπέρμα + γράμμα σπέρμα + ζῷον + εἶδος

ὄλιγον + σπέρμα διά + σπείρω



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ὁ ἀρότης ἀροῖ τὴν γῆν τῷ ἀρότρῳ.

α'. Οἱ ἐργάτ____ μισθ____ δέχονται.

β'. Τὰ πρόβατ____ εὑρίσκει ῥᾳδίως τὴν τροφ___ κατὰ τοὺς ἀγρ____.

γ'. Καταβάλλουσι τὰ λείψαν___ εἰς τὰς πυέλ___.

δ'. Τὸ ἄροτρ____ ἐστιν ὄργανον τοῦ γεωργ___.

ε'. Οἱ βό____ ἕλκουσι τὸ ἄροτρον καὶ ὁ ἀρότ___ ἐλαύνει τοὺς β___.



Δ΄. Πλήρωσον τοῖς ῥήμασιν.

. Ἐν τῷ χωρίῳ εἰσὶ (εἰμί) πολλοὶ ἐργάται.

α'. Ὁ ἀρότης ______ (ἀρόω) τὴν γῆν τῷ ἀρότρῳ.

β'. Ἄλλος ______ (συλλέγω) τὰ φρύγανα.

γ'. Ἡμεῖς ________ (ἐσθίω) κατὰ κόσμον.

δ'. Οἱ βόες ________ (ἕλκω) τὸ ἄροτρον.

ε'. Ὁ ἐργάται μισθὸν ________ (δέχομαι).



Ε΄. Πλήρωσον τῇ μετοχῇ ἢ ἀπαρεμφάτῳ.

. Ἀρῶν τὴν γῆν τί ποιεῖ;

α'. Οἱ χοῖροι κοΐζ____ ἐσθίουσιν.

β'. Ἀξίνην ἔχ____ κατατέμνουσι τὰ δένδρα.

γ'. Μακέλῃ ὀρύττουσιν, ὥστε φυτεύ____ φυτά.

δ'. Τὰ φρύγανά ἐστι ξύλα πρὸς τὸ καί____.



ΣΤ΄. Εὑρὲ τὸν λόγον.

. οἱ ἐργάται δέχονται ↘	. τῷ ἀρότρῳ.
. ὁ ἀρότης ἀροῖ	. τῷ δρεπάνῳ.
. οἱ βόες ἕλκουσι	**. μισθόν.**
. ὁ θεριστὴς θερίζει	. τῇ μακέλῃ.
. ὁ ἀρότης ὀρύττουσι	. τὸ ἄροτρον.

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ ἐνεστὼς χρόνος

B3

ἐγὼ	ἀρόω / ἀρῶ
σὺ	ἀροῖς
οὗτος	ἀροῖ
...	
ἡμεῖς	ἀροῦμεν
ὑμεῖς	ἀροῦτε
οὗτοι	ἀροῦσι(ν)
...	

[§ VII.1.]

ΛΕΞΕΙΣ

ἀκμή (ἡ)
ἀξίνη (ἡ)
ἀρότης (ὁ)
ἄροτρον (τό)
βοῦς, βοός (ὁ)
δεσμός (ὁ)
δρέπανον (τό)
ἐργάτης (ὁ)
θεριστής (ὁ)
κόσμος (ὁ)
κριθή (ἡ)
λείψανον (τό)
μακέλη (ἡ)
μισθός (ὁ)
πρόβατον (τό)
πύελος (ἡ)
σῖτος (ὁ)
φρύγανον (τό)
χοῖρος (ὁ)
λοιπός, ή, όν
σιδηροῦς, ᾶ, οῦν
ἀρόω -ῶ
γρυλίζω
ἐλαύνω
ἐμβάλλω
θερίζω
καίω
κατατέμνω
κοΐζω
ὀρύττω
σκάπτω
σπείρω
συλλέγω
τελευτάω -ῶ
τρώγω
φυλάττω




Ζ΄. Πλήρωσον τὸν λόγον.

Τί ποιοῦσιν οἱ ἐργάται;

Ὁ ἀρότης ἀροῖ τὴν γὴν τῷ ἀρότρῳ· πρῶτον μὲν καταβάλλει τὸ _______ τοῦ ἀρότρου εἰς τὴν γήν· ἔπειτα δὲ ὁ ἀρότης _______ τοὺς βοῦς _______ τὸ ἄροτρον.

Μετὰ δε ταῦτα ἄλλος σπείρει τὰ _______· ἔπειτα δὲ ὁ θεριστὴς θερίζει τῷ δρεπάνῳ τὸν σῖτον, _______ ἐν ἀκμῇ ἐστιν. Μετὰ δὲ ταῦτα δέουσιν ἐν δεσμοῖς τοὺς καλάμους τοῦ _______.

Ἄλλοι μὲν τὴν μακέλην _______ ὀρύττουσι καὶ φυτεύουσι δένδρα καὶ _______ φυτά. Ἄλλοι δὲ τῇ ἀξίνῃ κατατέμνουσι δένδρα καὶ συλλέγουσι φρύγανα.



Η ΑΣΤΡΑΠΗ (β′)

Ἄλλοτε μὲν λάμπει ὁ ἥλιος καὶ φέγγει ἡ σελήνη καὶ τὰ ἄστρα· ἄλλοτε δὲ ὕει καὶ ἀστράπτει καὶ βροντᾷ ἢ ἄνεμος πνεῖ, ὥστε ῥεῖ πολὺς ὁ ποταμός. Ἡμεῖς δ′ ἐν τούτῳ τῷ χρόνῳ καθίζομεν ἐν τῇ οἰκίᾳ καὶ μένομεν.

Χθὲς δ′ ἄνεμος ἦν λαβρότατος καὶ ὑετὸς καὶ ἀστραπὴ καὶ βροντή. Ἡμεῖς δ′ ἐντὸς ἐκαθίζομεν. Ἦν δὲ δύο φίλοι ἐν τῇ οἰκίᾳ ἡμῶν, ἔλεγε δὲ φίλος τις· «ἰδού, ὡς ὁμοίοι οἱ ἀδελφοί εἰσιν· οὐ γὰρ σῦκον σύκῳ ὁμοιότερον;» Ὁ δὲ ἕτερος ἀντέλεγε· «ἀλλ′ οὐχ οὕτως ὅμοιός ἐστιν οὗτος ἐκείνῳ οὔτε ἐκεῖνος τούτῳ.» Ὁ μὲν ἀδελφός μου αἰεὶ κλαίει, ἐγὼ δ′ αἰεὶ γελῶ· οἱ δὲ φίλοι καλοῦσιν ἐμὲ μὲν Δημόκριτον, ἐκεῖνον δὲ Ἡράκλειτον.

τὰ μετεώρα· ὑετὸς, ἀστραπὴ, βροντὴ, ἄνεμος...

ἄλλοτε = ἐνίοτε

ὁ ἥλιος λάμπει
ἡ σελήνη φέγγει
τὸ ἄστρον

ὕει < ὁ ὑετός

ἀστράπτει καὶ βροντᾷ
ἡ ἀστραπὴ καὶ ἡ βροντή
(ὁρῶμεν τὴν ἀστραπὴν καὶ ἀκούομεν τῆς βροντῆς)

ὁ ἀήρ = ὁ ἄνεμος πνεῖ
ἄνεμος λαβρότατος : πολὺς ἄνεμος

ὁ ποταμὸς ῥεῖ

μένω : εἰμί

χθές → τήμερον → αὔριον

ἦν < ἐστί

οἱ φίλοι

γελάω -ῶ

Οὗτοι γὰρ οἱ ἄνθρωποι φιλόσοφοι ἦσαν, διότι ἐφίλουν δὴ τὴν σοφίαν. Ὁ μὲν Δημόκριτος ἐγέλα τοῖς ἀνθρώποις, ὁ δὲ Ἡράκλειτος ἔκλαιε τὴν κακὴν τύχην αὐτῶν.

Ἡ δ' ἀστραπὴ μεγάλη ἦν καὶ φοβερά· ἐν δὲ τῇ αὐλῇ ἦν πύελος, ἐξ ἧς οἱ χοῖροι τρώγουσιν· ἦν δὲ καὶ ἐν τῇ πυέλῳ ὑετός, ὃς κατέπιπτε ἀπὸ τοῦ οὐρανοῦ. Ἡ δ' ἀδελφὴ ἡ ἐμὴ εἶδε τὴν ἀστραπὴν ἐν τῷ οὐρανῷ καὶ φόβῳ ἐβόα. Ἡ δὲ τροφὸς ἔλεγε· «θάρρει, ὦ Ἑλένη· ἡ ἀστραπὴ ἐκ πυέλου οὐ βλάπτει.» Ἡ δὲ Ἑλένη ἐθάρρει εὐθύς. Οἱ δὲ χοῖροι ὅμως ἐν φόβῳ ἦσαν καὶ ἐκόϊζον δεινῶς· ὥσπερ γὰρ βοῶμεν ἡμεῖς οἱ ἄνθρωποι, οὕτω καὶ κοΐζουσιν οἱ χοῖροι. Οὗτοι δὲ συντρέχουσι καὶ τρώγουσιν ὅσα ὁρῶσιν ἐν τῇ πυέλῳ.






ὁ φιλόσοφος



φοβερός, ά, όν < ὁ φόβος



ἡ τύχη

ὁ ἥλιος, ἡ σελήνη καὶ τὰ ἄστρα ἐν τῷ οὐρανῷ εἰσιν.

εἶδε < ὁρᾷ, βλέπει

θάρρει : μὴ φόβει

βλάπτει : ὀδυνᾷ (ἡ ὀδύνη)

δεινῶς = μετὰ φόβου

συντρέχουσιν = τρέχουσιν ἅμα

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ποῦ ἐκάθιζον; **Ἐκάθιζον ἐν τῇ οἰκίᾳ.**

α'. Διὰ τί ἐκάθιζον ἐν τῇ οἰκίᾳ;

β'. Τίνες ἦν ἐν τῇ οἰκίᾳ τοῦ Ἀλεξάνδρου;

γ'. Τί ἐποίουν ὁ Δημόκριτος καὶ ὁ Ἡράκλειτος;

δ'. Ποῦ εἶδε ἡ Ἑλένη τὴν ἀστραπήν;

ε'. Πῶς ἦσαν οἱ χοίροι;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. φίλος

φίλος + λόγος	φίλος + ἄνθρωπος
βιβλίον + φίλος	οἶνος + φίλος

β'. φόβος

ξένος + φόβος	ἀγορά + φόβος
ἄκρος + φόβος	φῶς, φωτός + φόβος



Γ΄. Εὑρὲ τὸν λόγον.

. **ὁ ἥλιος**	. φέγγει
. ἡ σελήνη	. ἀκούεται
. ἡ ἀστραπή	. **λάμπει**
. ἡ βροντή	. ῥεῖ
. ὁ ποταμός	. βλέπεται

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ παρατατικὸς χρόνος

	εἰμί	Α λέγω
ἐγὼ	ἦν	ἔλεγον
σὺ	ἦσθα	ἔλεγες
οὗτος...	ἦν	ἔλεγε
ἡμεῖς	ἦμεν	ἐλέγομεν
ὑμεῖς	ἦτε	ἐλέγετε
οὗτοι...	ἦσαν	ἔλεγον

	Β1 γελάω	Β2 φιλέω
ἐγὼ	ἐγέλων	ἐφίλουν
σὺ	ἐγέλας	ἐφίλεις
οὗτος...	ἐγέλα	ἐφίλει
ἡμεῖς	ἐγελῶμεν	ἐφιλοῦμεν
ὑμεῖς	ἐγελᾶτε	ἐφιλεῖτε
οὗτοι...	ἐγέλων	ἐφίλουν

	Β3 ἀρόω
ἐγὼ	ἠροῦν
σὺ	ἠροῖς
οὗτος...	ἠροῖ
ἡμεῖς	ἠροῦμεν
ὑμεῖς	ἠροῖτε
οὗτοι...	ἠροῦν

[§ VII.2.]



Δ΄. Πλήρωσον ταῖς καταλέξεσι.

. Ὁ ἥλιος λάμπει ἐν τῷ οὐρανῷ (ὁ οὐρανός).

α'. Ἦν δύο φίλοι ἐν ________ (ἡ οἰκία) ἡμῶν.

β'. Οὗτοι _______ (ὁ ἄνθρωπος) φιλόσοφοι ἦσαν.

γ'. Κατέπιπτε ὑετὸς ἀπὸ ________ (ὁ οὐρανός).

δ'. Ἡ ἀδελφὴ εἶδε ________ (ἡ ἀστραπή) καὶ ________ (ὁ φόβος) ἐβόα.

ε'. Ἐν _________ (ἡ πύελος) ὑετὸς ἦν.



Ε΄. Πλήρωσον τῷ ρήματι ἐν τῷ παρατατικῷ χρόνῳ.

. Χθὲς ἦν (εἰμί) ἄνεμος καὶ ὑετός.

α'. Οἱ φιλόσοφοι ______ (φιλέω -ῶ) τὴν σοφίαν.

β'. Δημόκριτος ______ (γελάω -ῶ) τοῖς ἀνθρώποις.

γ'. Ἡράκλειτος ______ (κλαίω) τὴν κακὴν τύχην.

δ'. Αἱ ἀστραπαὶ ______ (εἰμί) φοβεραί.

ε'. Ὁ ὑετὸς ______ (καταπίπτει) ἀπὸ τοῦ οὐρανοῦ.



ΣΤ΄. Ἄλλαξον εἰς τὸν παρατατικόν.

Ἄλλοτε μὲν λάμπει ὁ ἥλιος καὶ φέγγει ἡ σελήνη καὶ τὰ ἄστρα· ἄλλοτε δὲ ὕει καὶ ἀστράπτει καὶ βροντᾷ ἢ ἄνεμος πνεῖ, ὥστε ῥεῖ πολὺς ὁ ποταμός. Ἡμεῖς δ' ἐν τούτῳ τῷ χρόνῳ καθίζομεν ἐν τῇ οἰκίᾳ καὶ μένομεν.

Ἄλλοτε μὲν ἔλαμπε ὁ ἥλιος ___________

____

____

____

____




Ζ΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	**ψευ.**
Ὕει, ἀστράπτει καὶ βροντᾷ.	X	
Ὁ Ζήνων λέγει ὅτι οἱ ἀδελφοὶ οὔκ εἰσιν ὁμοίοι.		
Ὁ Φιλόδημος λέγει ὅτι ὁ Ἀλέξανδρός ἐστιν ὡς Δημόκριτος.		
Ἡ Ἑλένη γελᾷ, ἐπεὶ ὁρᾷ τὴν ἀστραπὴν καὶ ἀκούει τῆς βροντῆς.		
Ἡ Χαρὰ λέγει ὅτι ἡ ἀστραπὴ οὐ βλάπτει.		
Οἱ χοίροι οὔκ εἰσιν ἐν φόβῳ.		

ΛΕΞΕΙΣ

ἄνεμος (ὁ)
ἀστραπή (ἡ)
ἄστρον (τό)
βροντή (ἡ)
μετέωρα (τά)
οὐρανός (ὁ)
ποταμός (ὁ)
σελήνη (ἡ)
σοφία (ἡ)
τύχη (ἡ)
ὑετός (ὁ)
φίλος (ὁ)
φιλόσοφος (ὁ)
φόβος (ὁ)
φοβερός, ά, όν
ἀναμένω
ἀστράπτω
βλάπτω
βροντάω -ῶ
γελάω -ῶ
θαρρέω -ῶ
λάμπω
πνέω -ῶ
ῥέω
συντρέχω
ὕω
φέγγω
φιλέω -ῶ
ἄλλοτε
δεινῶς
χθές



Ο ΨΙΤΤΑΚΟΣ (α')

Ἔχω μὲν κάλλιστον δῶρον. Ἆρ' ἐρωτᾷς τί ἐστι *δῶρον*; Ἄκουε δή· ξένος μὲν γάρ τις φέρων ἐν οἰκίσκῳ θαυμασιώτατον ὀρνίθιον ἦλθε πρὸ τριῶν ἡμερῶν. Ἔστι γὰρ μέγα τὸ ὀρνίθιον, καὶ τὰ μὲν πτερὰ πράσινα, τὰ δὲ ξανθά· ἔχει δὲ ῥύγχιον μέγα καὶ καμπύλον· ἔχει δὲ καὶ μεγάλην τὴν φωνὴν καὶ ἀνθρωπίνην· λαλεῖ γὰρ τὸ ὀρνίθιον ὡς ἄνθρωπος. Ὁ δὲ ξένος ἔλεγε τὸ ὀρνίθιον εἶναι ψιττακόν.

Ἐπειδὴ γὰρ ἦλθεν ὁ ξένος, ἐβόα ὁ ψιττακός· «χαίρετε.» Φόβος δὲ εὐθὺς ἡμᾶς ἐνέπεσεν· ὁ δὲ εἶπεν· «οὐδεὶς φόβος, ὦ φίλοι· ὑμᾶς χαίρειν ἐθέλει ὁ ψιττακός, φίλος ὢν τοῖς θεοῖς· οἱ γὰρ θεοὶ ποιοῦσιν αὐτὸν λαλεῖν

κάλλιστος, η, ον : μάλα καλός…

τὸ δῶρον 

θαυμασιώτατον < μάλα / πολὺ θαυμάσιον

θαυμάσιον < θαυμάζω

ἦλθε < ἀόρ. ἔρχεται

τὰ φυτά ἐστι πράσινα, ὁ ἥλιός ἐστι ξανθός

τὸ ῥύγχιον καμπύλον ἐστίν



ἐνέπεσε < ἀόρ. ἐμπίπτω
ἐμπίπτω : πίπτω ἐντός

οὐδεὶς φόβος : οὐχὶ φόβος

φωνῇ ἀνθρωπίνῃ.» Καὶ ὁ Φίλιππος θαυμάζων εἶπε· «τί δή ἐστι τοῦτο, ὦ ξένε; οὐ γὰρ εἴδομεν ἡμεῖς οὐδέποτε ὀρνίθιον λαλοῦντα φωνῇ ἀνθρωπίνῃ. Τί ἄλλο λέγει;» ὁ δὲ ξένος ἔλεγε· «πολλὰ λέγει· πεινῶν γὰρ κελεύει σιτία φέρειν, διψῶν δὲ κελεύει ποτὸν φέρειν.» Ὁ δὲ Φίλιππος εἶπεν· «ὦ ξένε, ἆρα πωλεῖς μοι τὸ ὀρνίθιον;» ὁ δὲ ἔλεγε· «μάλα γε, δέκα δραχμῶν.»

Ὁ οὖν ξένος τὰς δέκα δραχμὰς ἔλαβε καὶ ἀπῆλθεν. Ἡμῖν δὲ κατέλιπε τὸν ψιττακὸν λέγοντα τάδε· «ὦ κατάρατε, ποῖ φεύγεις; κάρυον, κάρυον, κάρυον· πεινῶ, πεινῶ· διψῶ, διψῶ· φέρε μοι κάρυον, φέρε μοι οἶνον. Φεῦ τοῦ καταράτου· ἄπαγε, ἄπαγε». Ἡμεῖς δὲ ἐθαυμάζομεν ἀκούοντες τοῦ ψιττακοῦ.



εἴδομεν < ἀόρ. ὁρῶμεν

πεινῶ· ἐπειδὴ πεινῶ, ἐσθίω

διψῶ· ἐπειδὴ δειψῶ, πίνω.

τὸ ποτόν· οἶνος, ὕδωρ...

μάλα γε = ναί


ἡ δραχμή  

ἔλαβε < ἀόρ. λαμβάνει

ἀπῆλθε < ἀόρ. ἀπέρχεται
ἀπέρχεται : ἔρχεται ἔξω

κατέλιπε < ἀόρ. καταλείπει
καταλείπει ↔ λαμβάνει

κατάρατος : κακός

τὸ κάρυον 

ἀπάγω = φέρω

φεῦ : ὦ

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί ἔχει ὁ Ἀλέξανδρος;

Ὁ Ἀλέξανδρος ἔχει κάλλιστον δῶρον.

α'. Τί ἔφερε ὁ ξένος ἐν τῷ οἰκίσκῳ;

β'. Πῶς λαλεῖ ὁ ψιττακός;

γ'. Διὰ τί ὁ ψιττακὸς λαλεῖ ἀνθρωπίνῃ φωνῇ;

δ'. Ἆρ' εἶδον πότε ὀρνίθιον λαλοῦντα;

ε'. Τί κελεύει ὁ ψιττακὸς πεινῶν καὶ διψῶν;




Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ξένος

ξένος + φόβος	ξένος + φίλος
ξένος + φωνή	ξένος + γάμος

β'. θεός

θεός + λόγος	μόνος + θεός
πολύς + θεός	ἐν + θεός + οὐσία+ -ισμός



Γ΄. Πλήρωσον τῷ ὑπερθετικῷ ἐπιθέτῳ.

. Εἴδομεν <u>θαυμασιώτατον</u> (θαυμάσιος) ζῷον.

α'. Ὁ ξένος ἔφερεν ἐν οἰκίσκῳ ___________ (θαυμάσιος) ὀρνίθιον.

β'. Χθὲς ἄνεμος ἦν ___________ (λαβρός).

γ'. Πομπή ἐστι ___________ (λαμπρός).

δ'. Ἔχω __________ (καλός) δῶρον.

ε'. Ἔστι ναὸς __________ (μέγας).



Δ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ξένος τις φέρων ἐν οἰκίσκῳ ὀρνίθιον ἦλθε πρὸ τριῶν ἡμερῶν.

α'. Ὁ Φίλιππος θαυμάζ____ εἶπε· «τί ἐστι τοῦτο;»

β'. Ἡμεῖς ἐθαυμάζομεν ἀκού____ τοῦ ψιττακοῦ.

γ'. Ἐθέλει χαίρειν, φίλος _____ τοῖς θεοῖς.

δ'. Οὐκ εἴδομεν ὀρνίθιον λαλ____ οὕτως.

ε'. Ἡμῖν κατέλιπε τὸν ψιττακὸν λέγ ____.



Ε΄. Εὑρὲ τὸν ἐνεστότα χρόνον καὶ τὸν ἀόριστον χρόνον.

. λέγω →	. εἶδον
. λαμβάνω	. **εἶπον**
. ὁρῶ	. ἔπεσον
. πίπτω	. ἔλαβον
. λείπω	. ἦλθον
. ἔρχομαι	. ἔλιπον

ΓΡΑΜΜΑΤΙΚΗ

Ἡ ἐνεργητικὴ μετοχὴ
(ἐνεστὼς χρόνος)

ἀρσενικόν		οὐδέτερον	
(ὁ)	φέρων	(τὸ)	φέρον
(τὸν)	φέροντα	(τὸ)	φέρον
(τοῦ)	φέροντος	(τοῦ)	φέροντος
(τῷ)	φέροντι	(τῷ)	φέροντι
(οἱ)	φέροντες	(τὰ)	φέροντα
(τοὺς)	φέροντας	(τὰ)	φέροντα
(τῶν)	φερόντων	(τῶν)	φερόντων
(τοῖς)	φέρουσι	(τοῖς)	φέρουσι

θηλυκόν	
(ἡ)	φέρ*ουσα*
(τὴν)	φέρ*ουσαν*
(τῆς)	φερ*ούσης*
(τῇ)	φερ*ούσῃ*
(αἱ)	φέρ*ουσαι*
(τὰς)	φέρ*ουσας*
(τῶν)	φερ*ουσῶν*
(ταῖς)	φερ*ούσαις*

[§ VII.9.2.]

ΓΡΑΜΜΑΤΙΚΗ

Ὁ ἀόριστος χρόνος

λέγω → εἶπον

ἐγὼ	εἶπον
σὺ	εἶπες
οὗτος	εἶπε(ν)
...	
ἡμεῖς	εἴπομεν
ὑμεῖς	εἴπετε
οὗτοι	εἶπον

[§ VII.3.1.]



ΣΤ΄. Πλήρωσον τοῖς ῥήμασιν ἐν τῷ ἀορίστῳ χρόνῳ.

. Ὁ ξένος ἦλθε (ἔρχομαι) πρὸ τριῶν ἡμερῶν.

α'. Φόβος εὐθὺς ἡμᾶς ________ (ἐμπίπτω).

β'. Ἡμεῖς οὐκ ________ (ὁρῶ) ὀρνίθιον λαλοῦντα.

γ'. Ὁ Φίλιππος ________ (λέγω)· «ἆρα πωλεῖς μοι τὸ ὀρνίθιον;».

δ'. Ὁ ξένος τὰς δέκα δραχμὰς ________ (λαμβάνω) καὶ ________ (ἀπέρχομαι).



Ζ΄. Ἄλλαξον τὴν ὑπόταξιν.

. Ὁ ψιττακὸς κελεύει *σιτία φέρειν.*
Ὁ ψιττακὸς κελεύει **ὅτι σιτία φέρουσιν.**

α'. Ὁ ψιττακὸς κελεύει *ποτὸν φέρειν.*

____

β'. Ὁ ξένος ἔλεγε *τὸ ὀρνίθιον εἶναι ψιττακόν.*

____

γ'. Οἱ θεοὶ ποιοῦσιν *τὸν ψιττακὸν λαλεῖν φωνῇ ἀνθρωπίνῃ.*

____

____



Η'. Πλήρωσον τὸν λόγον.

Ψιττακός Χαίρετε.

Ξένος Οὐδεὶς φόβος, ὦ φίλοι· ὁ ψιττακὸς ἐθέλει ὑμᾶς ________.

Φίλιππος Τί ἐστι τοῦτο, ὦ ξένε; Οὐκ ________ οὐδέποτε ὀρνίθιον ________ φωνῇ ἀνθρωπίνῃ.

Ξένος Φίλος ________ τοῖς θεοῖς, ποιοῦσιν αὐτὸν λαλεῖν.

Φίλιππος Τί δ' ἄλλο λέγει;

Ξένος Λέγει γὰρ πολλά· ________ μὲν κελεύει σιτία ________, διψῶν δὲ κελεύει ποτὸν ________.

Φίλιππος Ἆρα πωλεῖς μοι, ὦ ξένε, τοῦτο τὸ ὀρνίθιον;

Ξένος Ναὶ μὰ Δία, δέκα ________.

...

Χάριν σοι ἔχω, ὦ φίλε. Ἔρρωσθε.

Φίλιππος Χάριν καί σοι. Ἔρρωσο.


Ψιττακός Φεῦ τοῦ καταράτου ἀνθρώπου, ________ φεύγεις; Πεινῶ, πεινῶ, διψῶ, διψῶ. Φέρε μοι κάρυον, φέρε μοι οἶνον.

ΛΕΞΕΙΣ

δραχμή (ἡ)
δῶρον (τό)
κάρυον (τό)
οἰκίσκος (ὁ)
ποτόν (τό)
ψιττακός (ὁ)
θαυμασιώτατος, η, ον
καμπύλος, η, ον
κατάρατος, ον
ξανθός, ή, όν
πράσινος, η, ον
ἀπάγω
διψάω –ῶ
ἐμπίπτω
θαυμάζω
καταλείπω
κελεύω
πεινάω -ῶ
φεῦ




Αἰγύπτιος, α, ον < ὁ Αἴγυπτος



Ο ΠΙΘΗΚΟΣ (β')

Εἴδομεν τήμερον θαυμασιώτατον ζῷον, ὃ οὐδεὶς πρότερον οὐδέποτε εἶδεν, ὡς νομίζω. Ἦλθε γὰρ ξένος τις Αἰγύπτιος, ὃς εἶχε ζῷον ὅμοιον ἀνθρώπῳ, ἀλλὰ ἦν μικρότερον παιδίου. Καὶ ὁ ξένος εἶπε τοῦτο τὸ ζῷον εἶναι πίθηκον. Εἶχε δὲ χλαῖναν μικρὰν, καὶ δὴ καὶ βλαύτας, καὶ πέτασον ἐπὶ τῆς κεφαλῆς. Κόμας δ' εἶχε ὁ πίθηκος κατὰ τὸ πρόσωπον ὅλον. Ἔλεγε δὲ καὶ τὸν πίθηκον εἶναι κλέπτην.

Ὁ δὲ τὸν πίθηκον ἀγὼν ἵστησι τοῦτον ἐγγύς μου· ἐγὼ δὲ δίδωμι αὐτῷ κάρυον· ὁ δὲ πίθηκος τίθησι τὸ κάρυον μεταξὺ τῶν ὀδόντων καὶ πιέζει τὸ κάρυον τοῖς ὀδοῦσι καὶ συνθραύει· τὸ μὲν ἔξω τοῦ καρύου ἀποβάλλει, τὸν δὲ κόκκον ἐσθίει ὡς ἄνθρωπος.



ὁ κλέπτης


ἵστημι· φέρω

δίδωμι : προσέχω



τίθημι κάρυον μεταξὺ τῶν ὀδόντων καὶ πιέζω τοῖς ὀδοῦσιν

συνθραύω : τέμνω



Ἐπεὶ δ′ ἔφαγε τὸν κόκκον, παρ′ αὐτῷ τίθημι ποτήριον οἴνου· ὁ δὲ πίθηκος εὐθὺς λαβὼν τὸ ποτήριον πίνει τὸν οἶνον, καὶ καταβάλλει τὸ ποτήριον χαμαί· ἔπειτα δὲ τίθησι τὸν πέτασον χαμαὶ ὕπτιον, ὥστε τὸ κοῖλον τοῦ πετάσου ἄνω εἶναι· ἤθελε δὴ ἡμᾶς εἰσβαλεῖν καὶ ἄλλα κάρυα.


Μετὰ δὲ ταῦτα ἐγὼ ἠρώτησα τὸν ἄγοντα· «ποῖόν τι, ὦ ξένε, λέγεις τοῦτο τὸ ζῷον εἶναι; τοῦτο γάρ ἐστιν ὅμοιον ἀνθρώπῳ». Ὁ δὲ ξένος εἶπε τάδε· «καὶ μὴν μιμηλός ἐστι τὸ ζῷον· τοῦτο γὰρ ποιεῖ ἀκριβῶς ὅ τι ὁρᾷ. Χορεύει γὰρ, εἰ μανθάνει, καὶ αὐλεῖ, εἰ διδάσκεις. Ἦν γάρ τις τροφὸς ἐν Αἰγύπτῳ, ἣ ἔλουε παιδίον ἐν δροίτῃ· ἔπειτα δὲ ἔλουσε τὰ σπάργανα τοῦ παιδίου· εἶτα δὲ ἐκοίμησεν αὐτὸ ἐν τῇ σκάφῃ. Ἡ δὲ τροφὸς ἐξῆλθε καὶ ὁ πίθηκος ἰδὼν ταῦτα εἰσῆλθεν οἴκαδε διὰ θύρας. Οὗτος δὲ εἷλε τὸ παιδίον ἐκ τῆς σκάφης· ἔλαβε δὲ καὶ ἔλουσε τὰ σπάργανα ὥσπερ καὶ εἶδε τὴν τροφόν.»



ἔφαγε < ἀόρ. ἐσθίει

λαβών < μετ. ἀόρ. λαμβάνω

χαμαί· ἐν τῇ γῇ, κάτω




ὕπτιος, α, ον

ἠρώτησα < ἀόρ. ἐρωτάω

μιμηλός, ή, όν < μιμοῦμαι
μιμοῦμαι : ποιῶ τὸ αὐτό




λούει ἐν δροίτῃ
ἔλουε, ἔλουσε < λούω



τὰ σπάργανα

ἐκοίμησεν < ἀόρ. κοιμάω



ἡ σκάφη

ἰδὼν < εἶδον < ἀόρ. ὁράω

ἐξῆλθε < ἀόρ. ἐξέρχομαι
ἐξῆλθε ↔εἰσῆλθε : ἀπῆλθε

οἴκαδε = εἰς τὴν οἰκίᾳ

εἷλε < ἀόρ. αἱρεῖ : λαμβάνει

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ ἀόριστος χρόνος

A λούω

ἐγὼ	ἔλουσα
σὺ	ἔλουσας
οὗτος...	ἔλουσε(ν)
ἡμεῖς	ἐλούσαμεν
ὑμεῖς	ἐλούσατε
οὗτοι...	ἔλουσαν

B1-2 κοιμάω

ἐγὼ	ἐκοίμ*ησα*
σὺ	ἐκοίμ*ησας*
οὗτος...	ἐκοίμ*ησε*(ν)
ἡμεῖς	ἐκοιμ*ήσαμεν*
ὑμεῖς	ἐκοιμ*ήσατε*
οὗτοι...	ἐκοίμ*ησαν*

B3 *-ασα* ...

[§ VII.3.2.]

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Ποῖόν τι θαυμασιώτατον ζῷον εἶδον;

Εἶδον πίθηκος.

α'. Πόθεν ἦλθεν ὁ τὸν πίθηκον ἀγών;

β'. Τί ἔφαγεν ὁ πίθηκος;

γ'. Ποῦ τίθησι ὁ πίθηκος τὸν πέτασον;

δ'. Τί ἐποίησεν ἡ τροφός;

ε'. Πῶς εἰσῆλθεν ὁ πίθηκος;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ὅμοιος - ὁμός

ὅμοιος + πάθος	ὅμοιος + θερμός
ὁμός + ὄνομα	ὁμός + φωνή

β'. ἐσθίων - ἔφαγον

ἄνθρωπος + ἔφαγον	αἷμα + ἔφαγον
καρπός+ ἔφαγον	σάρξ + ἔφαγον



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ἐγὼ ἠρώτη<u>σα</u> τὸν ἄγοντα· «τί ἐστι τοῦτο τὸ ζῷον;»

α'. Ἡ τροφὸς ἔλου____ τὰ σπάργανα.

β'. Ἡ τροφὸς ἐκοίμη____ τὸ παιδίον ἐν τῇ σκάφῃ.

γ'. Ὁ πίθηκος ἔλου____ καὶ τὰ σπάργανα.

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ ἐνεστὼς χρόνος

Γ -μι

ἵστημι	τίθημι	δίδωμι
ἵστης	τίθης	δίδως
ἵστησι	τίθησι	δίδωσι
ἵσταμεν	τίθεμεν	δίδομεν
ἵστατε	τίθετε	δίδοτε
ἱστᾶσι	τιθέασι	διδόασι

[§ VII.1.δ'.]



Δ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ὁ τὸν πίθηκον ἀγὼν ἵστησι τοῦτον ἐγγύς μου.

α'. Ἐγὼ δίδω____ αὐτῷ κάρυον.

β'. Ὁ πίθηκος τίθη____ τὸ κάρυον μεταξὺ τῶν ὀδόντων.

γ'. Ἐγὼ τίθη____ παρ' αὐτῷ ποτήριον οἴνου.

δ'. Ὁ πίθηκος τίθη____ τὸν πέτασον χαμαὶ ὕπτιον.



Ε΄. Εὑρὲ τὸν ἐνεστότα καὶ τὸν ἀόριστον.

. ἔρχομαι	. εἷλον
. λέγω	. ἔφαγον
. ὁρῶ	. εἶδον
. βάλλω	. εἶπον
. αἱρῶ	. ἦλθον
. ἐσθίω	. ἔβαλον



ΣΤ΄. Ἄλλαξον τὴν ὑπόταξιν.

. Ὁ ξένος λέγει τὸ ζῷον εἶναι πίθηκον.

Ὁ ξένος λέγει **ὅτι τὸ ζῷόν ἐστι πίθηκος.**

α'. Ὁ ξένος λέγει τὸν πίθηκον εἶναι κλέπτην.

____

β'. Ὁ πίθηκος ἐθέλει ἡμᾶς εἰσβαλλεῖν κάρυα.

____

ΛΕΞΕΙΣ

βλαύτη (ἡ)
δροίτη (ἡ)
κλέπτης (ὁ)
κοῖλον (τό)
κόκκος (ὁ)
πέτασος (ὁ)
πίθηκος (ὁ)
σκάφη (ἡ)
σπάργανον (τό)
χλαῖνα (ἡ)
Αἰγύπτιος, α, ον
μιμηλός, ή, όν
ὅλος, η, ον
ὕπτιος, α, ον
αἱρέω -ῶ
ἀποβάλλω
δίδωμι
εἰσβάλλω
εἰσέρχομαι
ἐξέρχομαι
ἵστημι
πιέζω
συνθραύω
τίθημι
μεταξύ
οἴκαδε
πρότερον
χαμαί



Ζ΄. Ἐπεῖπε τὴν ἀληθῆ ἀπάντησιν.

. Ὁ παιδαγωγὸς ἦγε τὸν Ἀλέξανδρον...

α΄. παρὰ τὸν διδάσκαλον.

β΄. εἰς τὴν ἀγοράν.

γ΄. εἰς τὴν οἰκίαν.

Α. Τί εἶδον;

α΄. Ὀρνίθιόν τι.

β΄. Πίθηκόν τινα.

γ΄. Ξένόν τινα.

Β. Ὁ πίθηκος ἦν...

α΄. ὅμοιος παιδίῳ.

β΄. μείζων παιδίου.

γ΄. ὅμοιος ἀνθρώπῳ.

Γ. Τί ἐποίησεν ὁ πίθηκος;

α΄. Κατέβαλε κάρυον.

β΄. Ἔφαγε κάρυον.


γ΄. Ἔφαγε κόκκον.

Δ. Ὁ Ἀλέξανδρος... παρὰ τῷ πιθήκῳ ποτήριον οἴνου.

α΄. ἵστησι


β΄. τίθησι

γ΄. δίδωσι





ὁ ἄγγελος ἀγγέλλει



ὁ πόλεμος

Ο ΠΟΛΕΜΟΣ (α')

Πολλάκις ἀγγέλλει ἡμῖν ἄγγελός τις, ὅτι πόλεμός ἐστι ταῖς Ἀθήναις· ἔχομεν γὰρ πολλοὺς πανταχοῦ πολεμίους, τούς τ' ἐν τοῖς Μεγάροις καὶ τοὺς ἐν τῇ Αἰγίνῃ καὶ τοὺς ἐν τῇ Βοιωτίᾳ, πλὴν τῶν ἐν ταῖς Πλαταιαῖς· οἱ γὰρ τῶν Πλαταιῶν πολῖται φίλοι εἰσὶ καὶ σύμμαχοι πάλαι τοῖς Ἀθηναίοις. Οὐδεὶς οὖν φόβος ἐστὶν ἡμῖν ἀπὸ τῶν Πλαταιῶν, ἀλλὰ ἀπὸ τῆς ἄλλης Βοιωτίας καὶ ἀπὸ τῶν Μεγάρων καὶ ἀπὸ τῆς Αἰγίνης ἐστὶ φόβος αἰεί.

Οἱ δὲ μάλιστα πολέμιοι πάλαι εἰσίν τε καὶ ἦσαν οἱ Πέρσαι, οἳ οἰκοῦσιν ἐν Ἀσίᾳ· καὶ δεῦρο εἰς τὴν Ἀττικὴν ἦλθον ποτὲ καὶ ὁ Δαρεῖος καὶ ὁ Ξέρξης· οὗτοι δ' ἦρχον τῶν Περσῶν.

πανταχοῦ : ἐν πασὶ τοῖς τόποις

πολέμιος· ὁ ἄλλος ἐν τῷ πολέμῳ
πολέμιος ↔ σύμμαχος

πλήν : οὐ

ὁ πολίτης· ὁ ἄνθρωπος τῆς πόλεως
ὁ πολίτης < πόλις

πάλαι : ἐν τῷ πρὶν χρόνῳ
πρίν ↔ μετὰ ταῦτα

δεῦρο ↔ ἐκεῖ, ἐκεῖσε


Καὶ τὸν μὲν Δαρεῖον ἐνικήσαμεν· ὁ δὲ Ξέρξης ὁ βασιλεὺς πρῶτον μὲν ἐνίκησεν ἡμᾶς, ἔπειτα δὲ ἡμεῖς ἐνικήσαμεν τὸν Ξέρξην.


Ἐλθὼν δὲ νεωστὶ εἰς τὴν κώμην ἄγγελός τις ἀγγέλλει ὅτι οἱ Βοιωτοὶ εἰσβάλλουσιν εἰς τὴν Ἀττικὴν μετὰ πεντακοσίων ὁπλιτῶν, φέροντες ζῷα τε καὶ ἄλλα, ὅσα ἐνῆν ἐν τοῖς χωρίοις καὶ ἐν ταῖς κώμαις. Παρεσκευάσαμεν οὖν καὶ ἡμεῖς τοὺς ὁπλίτας σχεδὸν δισχιλίους, καὶ ἐπῆλθον δρόμῳ ἐπὶ τοὺς πολεμίους.



παρεσκευάσαμεν τοὺς ὁπλίτας

Μετὰ δὲ τρεῖς ἡμέρας οἱ ὁπλῖται ἡμῶν κατῆλθον· οἱ μὲν πολλὰ τραύματα εἶχον, οἱ δὲ ἀπέθανον ἐν τῇ μάχῃ, ἀλλ' ἐνίκησαν τοὺς Βοιωτοὺς καὶ ἀπέκτειναν πολλούς. Τοὺς δὲ πολεμίους ἰδόντες, πολὺ ἐχαίρομεν, ὅτι αἰχμαλῶτοι ἦσαν· καὶ τῇ ὑστεραίᾳ τούτους ἐπωλοῦμεν ὡς δούλους. Ταῦτα δὴ ποιοῦμεν τοὺς πολεμίους.





ὁ βασιλεύς

νεωστί ↔ πάλαι

ἐνῆν < παρατ. ἔνειμι

σχεδὸν δισχιλίους : οὐκ ἀκριβῶς δισχιλίους

δισχιλίους < δύο-χιλίους : χιλίους καὶ χιλίους

ἐπῆλθον < ἐπέρχομαι
ἐπέρχομαι : εἰσβάλλω

κατῆλθον < ἀόρ. κατέρχομαι
κατέρχομαι = ἀφικνοῦμαι
κατῆλθον : ἀφίκοντο εἰς τὴν πόλιν

ἡ μάχη· πολλαὶ μάχαι = ὁ πόλεμος

ἀπέκτειναν < ἀποκτείνω

αἰχμάλωτος· πολέμιος λαβόμενος ἐν πολέμῳ

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί ἀγγέλλει πολλάκις ὁ ἄγγελος;

Πολλάκις ἀγγέλλει ὅτι πόλεμός ἐστι ταῖς Ἀθήναις.

α'. Ποῖοι πολεμίοι ταῖς Ἀθήναις εἰσίν;

β'. Ποῦ ᾤκουν ὁ Δαρεῖος καὶ ὁ Ξέρξης;

γ'. Τί ἀγγέλλει ὁ ἄγγελος ἐλθὼν νεωστὶ εἰς τὴν κώμην;

δ'. Πόσους ὁπλίτας παρεσκεύασαν οἱ Ἀθηναῖοι ἐπὶ τοὺς Βοιωτούς;

ε'. Διὰ τί ἐχαῖρον τοὺς πολεμίους ἰδόντες;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. ἄρχω - ἀρχή

μόνος + ἄρχω	ὀλίγος + ἄρχω
ἀ(ν)- + ἄρχω	ἱερός + ἄρχω

β'. πάλαι – παλαιός, ά, όν

παλαιός + γράφω	παλαιός + λόγος
παλαιός + λίθος	παλαιός + ὄντος + λόγος



Γ΄. Πλήρωσον τοῖς ῥήμασιν ἐν τῷ ἀορίστῳ χρόνῳ.

. Ὁ Ξέρξης <u>ἦλθε</u> δεῦρο. (ἔρχομαι)

α'. Πρῶτον μὲν ὁ Ξέρξης ἡμᾶς __________ (νικάω -ῶ), ἔπειτα δὲ ἡμεῖς τοῦτον __________ (νικάω -ῶ).

β'. Οἱ ὁπλῖται __________ (ἐπέρχομαι) δρόμῳ ἐπὶ τοὺς πολεμίους.

γ'. Ὀλίγοι ὁπλῖται __________ (ἀποθνῄσκω) ἐν τῇ μάχῃ.

δ'. Οἱ ὁπλῖται πολλοὺς Βοιωτούς __________ (ἀποκτείνω).

ΓΡΑΜΜΑΤΙΚΗ



Δ΄. Γράψον τὸν λόγον εἰς τὸν ἐνεστότα χρόνον.

Μετὰ δὲ τρεῖς ἡμέρας οἱ ὁπλῖται ἡμῶν κατῆλθον· οἱ μὲν πολλὰ τραύματα εἶχον, οἱ δὲ ἀπέθανον ἐν τῇ μάχῃ, ἀλλ' ἐνίκησαν τοὺς Βοιωτοὺς καὶ ἀπέκτειναν πολλούς. Τοὺς δὲ πολεμίους ἰδόντες, πολὺ ἐχαίρομεν, ὅτι αἰχμαλῶτοι ἦσαν.

Μετὰ δὲ τρεῖς ἡμέρας οἱ ὁπλῖται ἡμῶν κατέρχονται· ______________________

____

____

____

____

Ἡ ἐνεργητικὴ μετοχὴ
(ἀόριστος χρόνος)

ἀρσ.	(ὁ) ἐλθών	(οἱ) ἐλθόντες
θηλ.	(ἡ) ἐλθοῦσα	(αἱ) ἐλθοῦσαι
οὐδ.	(τὸ) ἐλθόν	(τὰ) ἐλθόντα

ἔρχομαι → ἦλθον → ἐλθών...
ὁρῶ → εἶδον → ἰδών...
λέγω → εἶπον → εἰπών...

(ἰδοὺ τὴν ἐνεργητικὴν φωνὴν τοῦ ἐνεστῶτος χρόνου)
[§ VII.9.]



Ε΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ὁ Δαρεῖος καὶ ὁ Ξέρξης ἄρχοντες τῶν Περσῶν δεῦρο ἦλθον.

α'. Ἐλθ____ ἄγγελός τις ἀγγέλλει ταῦτα.

β'. Οἱ Βοιωτοὶ εἰσβάλλουσιν φερ____ ζῷα.

γ'. Τοὺς πολεμίους ἰδ____, πολὺ ἐχαίρομεν.

ΓΡΑΜΜΑΤΙΚΗ



ΣΤ'. Τί ἐστιν ἀληθές;

. Ὁ ἄγγελος ἀγγέλλει ὅτι πόλεμός ἐστι ταῖς Ἀθήναις.

- Ὁ ἄγγελος ἀγγέλλει, πόλεμος ὢν ταῖς Ἀθήναις.

- Ὁ ἄγγελος ἀγγέλλει πόλεμον εἶναι ταῖς Ἀθήναις.

λέγω ὅτι πόλεμός ἐστιν = λέγω πόλεμον εἶναι [§ VII.8.2.]

α'. Οἱ μάλιστα πολεμίοι ἦσαν οἱ Πέρσαι, οἳ οἰκοῦσιν ἐν Ἀσίᾳ.

- Οἱ μάλιστα πολεμίοι ἦσαν οἱ Πέρσαι οἱ οἰκοῦντες ἐν Ἀσίᾳ.

- Πολεμίοι ἦσαν οἱ Πέρσαι· οὗτοι οἰκοῦσιν ἐν Ἀσίᾳ.

ὁ καταβάλλων : ὃς καταβάλλει
καταβάλλων : ἐν ᾧ καταβάλλει
παύει τρέχων : οὐ τρέχει πλέον
[§ VII.9.]

β'. Ἐλθὼν δεῦρον ἄγγελός τις ἀγγέλλει ταῦτα.

- Ἄγγελός τις, διότι ἦλθεν δεῦρον, ἀγγέλλει ταῦτα.

- Ἄγγελός τις ἀγγέλλει ταῦτα, ἐπειδὴ ἦλθεν δεῦρον.

γ'. Τοὺς πολεμίους ἰδόντες, πολὺ ἐχαίρομεν.

- Ἐπειδὴ τοὺς πολεμίους εἴδομεν, πολὺ ἐχαίρομεν.

- Τοὺς πολεμίους εἴδομεν καὶ πολὺ ἐχαίρομεν.


ΛΕΞΕΙΣ

ἄγγελος (ὁ)
Αἰγίνη (ἡ)
Ἀσία (ἡ)
βασιλεύς, εως (ὁ)
Βοιωτία (ἡ)
Βοιωτός (ὁ)
Δαρεῖος (ὁ)
μάχη (ἡ)
Μέγαρα (τά)
Ξέρξης (ὁ)
Πέρσης (ὁ)
Πλαταιαί (αἱ)
πόλεμος (ὁ)
πολίτης (ὁ)
αἰχμάλωτος, ον
δισχίλιοι, αι, α
πολέμιος, α, ον
σύμμαχος, ον
ἀγγέλλω
ἀποκτείνω
ἐπέρχομαι
κατέρχομαι
παρασκευάζω
δεῦρο
νεωστί
πάλαι
πανταχοῦ
πλήν
σχεδόν



Ζ΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Πολλοὶ πολεμίοι πανταχοῦ τοῖς Ἀθηναίοις εἰσίν.	X	
Οἱ ἐν τᾶις Πλαταιαῖς πολεμίοι πάλαι εἰσίν.		
Οἱ Βοιωτοὶ μετὰ ἑπτακοσίων ὁπλιτῶν εἰς τὴν Ἀττικὴν εἰσβάλλουσιν.		
Οἱ Ἀθηναῖοι παρεσκεύασαν σχεδὸν δισχιλίους ὁπλίτας.		
Πάντες οἱ τῆς Ἀττικῆς ὁπλίται πολλὰ τραύματα εἶχον.		
Οἱ Βοιωτοὶ τοὺς Ἀθηναίους ἐνίκησαν.		



ΤΑ ΤΕΙΧΗ (β′)

Ὁ μὲν πατήρ μου, ὁ Φίλιππος, εἰς τὰς Ἀθήνας ἦλθεν· ἐπειδὴ δ' οὐκ ἤγαγεν ἐμὲ μετὰ αὐτοῦ, ἐγὼ εἰς αὐτὸν ἔγραψα ἐπιστολὴν λέγουσαν τάδε·

Ἀλέξανδρος Φιλίππῳ τῷ πατρὶ χαίρειν·

Οὐκ ἤνεγκές με μετά σου εἰς τὴν πόλιν. Εἰ μὴ ἐθέλεις πάλιν φέρειν με μετά σου εἰς τὰς Ἀθήνας, ἐγὼ οὐ γράψω πάλιν σοι ἐπιστολὴν οὔτε λαλήσω σοι οὔτε χαίρειν λέξω ἔπειτα· εἰ μὴ ἐθέλεις φέρειν με, ταῦτα ἔσεται. Ἐθέλω τοὐλάχιστον δῶρα εἴς με πέμπειν, παρακαλῶ σε. Εἰ δὲ μὴ πέμπεις δῶρα, οὔτε φάγομαι οὔτε πίομαι· ταῦτα. Ἐρρῶσθαί σε εὔχομαι.

Φιλίππῳ τοῦ Ἀλεξάνδρου τοῦ υἱοῦ.

ἤγαγεν < ἀόρ. ἄγω


ἤνεγκες < ἀόρ. φέρω

πάλιν = αὖθις

τοὐλάχιστον < τὸ ἐλάχιστον
ἐλάχιστος < ἐλαχύς : μικρός

παρακαλῶ : εὔχομαι

Χθὲς ὁ Φίλιππος ἤγαγεν ἐμὲ εἰς τὰς Ἀθήνας. Δημοκρατία ἐστὶ τοῖς Ἀθηναίοις· ἄρχει γὰρ ὁ δῆμος ὁ Ἀθηναῖος αὐτὸς ἑαυτοῦ, καὶ ἔχει νόμους. Πρὶν δὲ οὐκ ἦν δημοκρατία, καὶ νόμοι οὐκ ἦσαν· ἦρχε γὰρ τύραννός τις, ὃς ὠνομάζετο Πεισίστρατος.



Εἴδομεν δὲ τὴν ἀκρόπολιν καὶ τὰ τείχη αὐτῆς. Ὁ μὲν Ξέρξης ἦλθε μετὰ τῶν Μήδων, κατέκαυσε δὲ τὰς Ἀθήνας καὶ τὴν ἀκρόπολιν· συνεβούλευε δ' ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις οἰκοδομεῖν ὡς τάχιστα τὰ τείχη, τά τε τῶν Ἀθηνῶν καὶ τὰ τῆς ἀκροπόλεως.

Οἱ δὲ Λακεδαιμόνιοι τοῖς Ἀθηναίοις ἐφθόνουν καὶ ἐφοβοῦντο μὴ λίαν μεγάλαι γίγνωνται αἱ Ἀθῆναι, ὥστε οἱ Λακεδαιμόνιοι ἐκέλευον μὴ οἰκοδομηθῆναι τὰ τείχη.

ὁ νόμος ↔ τὸ χάος

πρίν ↔ μετὰ ταῦτα

ὁ τύραννος : ὁ ἄρχων μόνος

κατακαίω = καίω παντελῶς

οἱ Μῆδοι = οἱ Πέρσαι < ἡ Περσίς

συμβουλεύω : λέγω

οἱ Λακεδαιμόνιοι =
οἱ Σπαρτιάται< ἡ Σπάρτη

ὡς τάχιστα < μάλα ταχέως
ταχέως : εὐθύς

ἐφθόνουν < φθονέω ῶ
φθονέω ↔ φιλέω, ἀγαπάω

ἐφοβοῦντο < φοβοῦμαι
φοβοῦμαι : ἔχω φόβον


γίγνωνται < ὑποτ. γίγνομαι

ἐφοβοῦντο μὴ γίγνωνται :
ἐφοβοῦντο ὡς γίγνωνται

λίαν : πολύ

μὴ τὰ τείχη οἰκοδομηθῆναι =
μὴ τοὺς Ἀθηναίους
οἰκοδομῆσαι τὰ τείχη

Ὁ οὖν Θεμιστοκλῆς ἦλθε πρέσβυς εἰς τὴν Σπάρτην μετ' ἄλλων πρέσβεων, κελεύσας τοὺς Ἀθηναίους ὡς τάχιστα οἰκοδομεῖν. Καὶ ἐν ᾧ διέτριβε χρόνον ἐν τῇ Σπάρτῃ, ἤγγειλέ τις τοῖς Λακεδαιμονίοις οἰκοδομεῖν ἔτι ἐν ταῖς Ἀθήναις.



ὁ πρέσβυς
οἱ πρέσβεις

Πρὸς ταῦθ' ὁ Θεμιστοκλῆς οὐκ ἔλεγε οἰκοδομεῖν. Ἔπεμψαν οὖν οἱ Λακεδαιμόνιοι πρέσβεις Ἀθήναζε· καὶ ὡς τάχιστα ἀφίκοντο, φανερῶς ἤδη ἔλεγεν ὁ Θεμιστοκλῆς ἀληθῆ εἶναι τὰ λεγόμενα, καὶ οἰκοδομηθῆναι ἤδη τὰ τείχη. Οἱ δὲ Λακεδαιμόνιοι, φοβοῦμενοι μὴ τοὺς αὐτῶν πρέσβεις παθεῖν τι, ἀνάγκῃ ἐξέβαλον τοὺς Ἀθηναίους πρέσβεις.

κελεύσας... = ἐπειδὴ ἐκέλευσε...

διέτριβε < παρατ. διατρίβω

ἐν ᾧ διέτριβε χρόνον ἐν τῇ Σπάρτῃ : ἐν ᾧ ἔμενε χρόνον ἐν τῇ Σπάρτῃ

πρὸς ταῦθ' ὁ Θεμιστοκλῆς... = πρὸς ταῦτα ὁ Θεμιστοκλῆς...

Ἀθήναζε = εἰς τὰς Ἀθήνας

φανερῶς < φανερός, ά, όν : δῆλος, η, ον

ἀληθής, ές ↔ ψευδής, ές

τὰ λεγόμενα = ταῦτα ἃ ἔλεγε

φοβοῦμενοι : διότι ἐφοβοῦντο

παθεῖν < ἀόρ. πάσχω

ἀνάγκῃ : κακῶς

ἐξέβαλον < ἀόρ. ἐκβάλλω : βάλλω ἔξω

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Τί ἔγραψεν ὁ Ἀλέξανδρος;

Οὗτος ἔγραψεν ἐπιστολὴν Φιλίππῳ τῷ πατρί.

α'. Τίνα ποιήσει ὁ Ἀλέξανδρος, εἰ ὁ πατὴρ μὴ ἐθέλει τοῦτον εἰς τὰς Ἀθήνας ἄγειν;

β'. Τίς ἦν ὁ Πεισίστρατος;

γ'. Τί ἐκέλευεν οἰκοδομεῖν ὁ Θεμιστοκλῆς;

δ'. Διὰ τί οἱ Λακεδαιμόνιοι ἐκέλευον μὴ οἰκοδομηθῆναι τὰ τείχη;

ε'. Ποῦ οἱ Λακεδαιμόνιοι ἔπεμψαν πρέσβεις;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. νόμος

ἄστρον + νόμος	ἔργον + νόμος
γαστήρ + νόμος	μακρός + οἰκία + νόμος

β'. πάσχω (ἔπαθον) - πάθος

πάθος + λόγος	τῆλε + πάθος
ψυχή+ πάθος	ἀ- + πάθος



Γ΄. Πλήρωσον ἐν τῷ ἀορίστῳ χρόνῳ.

. Ἐγὼ αὐτῷ <u>ἔγραψα</u> (γράφω) ἐπιστολήν.

α'. Ὁ Ξέρξης ________ (κατακαίω) τὰς Ἀθήνας καὶ τὴν ἀκρόπολιν.

β'. Ἄγγελός τις ________ (ἀγγέλλω) οἰκοδομεῖν ἐν ταῖς Ἀθήναις.

γ'. Οἱ Λακεδαιμόνιοι ________ (πέμπω) πρέσβεις Ἀθήναζε.



Δ΄. Εὑρὲ τὸν ἐνεστότα καὶ τὸν ἀόριστον.

. **ἔρχομαι** →	. ἤνεγκον
. φέρω	. ἐξέβαλον
. ὁρῶ	. **ἦλθον**
. ἀφικνοῦμαι	. εἶδον
. ἐκβάλλω	. ἀφικόμην



Ε΄. Πλήρωσον ἐν τῷ μέλλοντι χρόνῳ.

α'. Ἐγὼ οὐ <u>γράψω</u> (γράφω) σοι ἐπιστολὴν οὔτε ___________ (λαλέω) οὔτε χαίρειν ___________ (λέγω).

β'. Εἰ μὴ ἐθέλεις φέρειν με, ταῦτα ___________ (εἰμί).

γ'. Εἰ μὴ πέμπεις δῶρα, οὐ ___________ (ἐσθίω) οὔτε ___________ (πίνω).

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ ἀόριστος χρόνος [§ VII.3.2.]

(ἐνεργ. διάθεσις)

ἐγὼ	ἔγραψα
σὺ	ἔγραψες
οὗτος...	ἔγραψε(ν)
ἡμεῖς	ἐγράψαμεν
ὑμεῖς	ἐγράψατε
οὗτοι...	ἔγραψαν

π, β, φ, πτ + -σ- > ψ
(γράφω → ἔγραψα)

κ, γ, χ, ττ + -σ- > ξ
(ἄρχω → ἦρξα)

τ, δ, θ, ζ + -σ- > σ
(ἀγοράζω → ἠγόρασα)

λ, ρ, μ, ν·
(ἀγγέλλω → ἤγγειλα)
(διαφθείρω → διέφθειρα)
(νέμω → ἔνειμα)
(ἀποκτείνω → ἀπέκτεινα)

ὁ μέλλων χρόνος [§ VII.4.]

	ἐνεστώς	μέλλων
Α	γράφω	→ γράψω
Β1-2	λαλῶ	→ λαλήσω
Β3	κυκλῶ	→ κυκλώσω

	εἰμί	Α γράφω
ἐγὼ	ἔσομαι	γράψω
σὺ	ἔσῃ/ἔσει	γράψεις
οὗτος...	ἔσεται	γράψει
ἡμεῖς	ἐσόμεθα	γράψομεν
ὑμεῖς	ἔσεσθε	γράψετε
οὗτοι...	ἔσονται	γράψουσι(ν)

(μέση διάθεσις)

ἐνεσ.	ἀόρ.	μέλ.
εἰμί	→ ἐγενόμην	→ ἔσομαι
ἐσθίω	→ ἔφαγον	→ φάγομαι
πίνω	→ ἔπιον	→ πίομαι

ΓΡΑΜΜΑΤΙΚΗ

ὁ παρατατικὸς χρόνος
(μέση διάθεσις)

A ὀνομάζομαι	B_2 φοβοῦμαι
ὠνομαζόμην	ἐφοβούμην
ὠνομάζου	ἐφοβοῦ
ὠνομάζετο	ἐφοβοῦτο
ὠνομαζόμεθα	ἐφοβούμεθα
ὠνομάζεσθε	ἐφοβοῦσθε
ὠνομάζοντο	ἐφοβοῦντο

[§ VII.2.γ'.]



ΣΤ΄. Πλήρωσον ἐν τῷ παρατατικῷ.

. Ὁ Θεμιστοκλῆς συνεβούλευε οἰκοδομεῖν τὰ τείχη.

α'. Ἦρχ____ τύραννός τις, ὃς ὠνομάζ____ Πεισίστρατος.

β'. Οἱ Λακεδαιμόνιοι τοῖς Ἀθηναίοις ἐφθόν____ καὶ ἐφοβ____.

γ'. Οἱ Λακεδαιμόνιοι ἐκέλευ____ μὴ οἰκοδομηθῆναι τὰ τείχη.

δ'. Ὁ Θεμιστοκλῆς διέτριβ____ χρόνον ἐν τῇ Σπάρτῃ.

ε'. Ὁ Θεμιστοκλῆς οὐκ ἔλεγ____ οἰκοδομεῖν.



Ζ΄. Πλήρωσον τῇ ἀπαρεμφάτῳ ἐγκλίσει.

αὐξάνεσθαι	~~φέρειν~~	οἰκοδομεῖν
παθεῖν	πέμπειν	οἰκοδομηθῆναι

. Εἰ μὴ ἐθέλεις φέρειν με, ταῦτα ἔσεται.

α'. Ἐθέλω τοὐλάχιστον δῶρά μοι ________.

β'. Θεμιστοκλῆς ἐκέλευσε ________ τὰ τείχη.

γ'. Οἱ Λακεδαιμόνιοι ἐφοβοῦντο μὴ ________ λίαν τὰς Ἀθήνας.

δ'. Ἐκέλευον μὴ ________ τὰ τείχη.

ε'. Ἐφοβοῦντο μὴ τοὺς αὐτῶν πρέσβεις ________ τι.



Η'. Ἐπεῖπε τὴν ἀληθῆ ἀπάντησιν.

. Τί ὁρῶσιν ὁ Ἀλέξανδρος καὶ ὁ πατήρ;

α'. Τὰ τείχη καὶ τὴν ἀκρόπολιν.

β'. Τὰ τείχη τῆς ἀκροπόλεως.

γ'. Τὴν ἀκρόπολιν καὶ τὴν ἀγοράν.

Α. Τίς ἦν ὁ Ξέρξης;

α'. Βασιλεύς τις.

β'. Ὁ τῶν Μήδων βασιλεύς.

γ'. Ὁ τῶν Ἀθηναίων βασιλεύς.

Β. Τί συνεβούλευσε ὁ Θεμιστοκλῆς;

α'. Μὴ οἰκοδομεῖν τὰ τείχη.

β'. Οἰκοδομεῖν τείχη ἐν ταῖς Ἀθήναις.

γ'. Οἰκοδομεῖν ὡς τάχιστα τὴν ἀκρόπολιν.

Γ. Τίνες ἐκέλευσαν μὴ οἰκοδομεῖν τὰ τείχη;

α'. Οἱ Ἀθηναῖοι.

β'. Ὁ Θεμιστοκλῆς.

γ'. Οἱ Λακεδαιμόνιοι.

Δ. Οἱ Ἀθηναῖοι ᾠκοδόμησαν τὰ τείχη;


α'. Οὐ λέγεται.

β'. Ναί.

γ'. Οὐχί.

ΛΕΞΕΙΣ

ἀνάγκη (ἡ)
δημοκρατία (ἡ)
ἐπιστολή (ἡ)
νόμος (ὁ)
πρέσβυς, εως (ὁ)
Σπάρτη (ἡ)
τύραννος (ὁ)
ἀληθής, ές
ἐλάχιστος, η, ον
Λακεδαιμόνιος, α, ον
αὐξάνω, -ομαι
διατρίβω
κατακαίω
παρακαλέω -ῶ
συμβουλεύω
φθονέω -ῶ
φοβέω -ῶ
Ἀθήναζε
λίαν
πάλιν
πρίν
φανερῶς



Η ΘΑΛΑΤΤΑ (α′)

ὅταν < ὅτε ἄν : ἐπεί, ἐπειδή
ᾖ < ὑποτ. εἰμί
ὅταν ᾖ : ἐπειδή ἐστι

ἡ γαλήνη· οὔκ ἐστι λαβρότατος ἄνεμος ἐν τῇ θαλάττῃ



σκυθρωπός : ἄθυμος ↔ ἄσμενος

ὦ τᾶν : ὦ ἄνθρωπε

ἀπεκρίνετο < ἀποκρίνομαι : λέγω (μετὰ ἐρώτησιν)


ἐπιθυμεῖ < ἐπιθυμέω -ῶ τινός: ἐθέλω πολύ τι μᾶλλον

Χθὲς κατήλθομεν εἰς τὴν θάλατταν, ἥτις ἄπεστιν ὀγδοήκοντα μάλιστα στάδια ἀπὸ τῆς κώμης ἐν ᾗ οἰκῶ. Κατήλθομεν δὲ πρὸς τὸν αἰγιαλόν. Ὅταν ᾖ γαλήνη, γελᾷ ἡ θάλαττα, ὥσπερ ἡμεῖς λέγομεν.

Εὕρομεν δ′ ἄνθρωπόν τινα καθίζοντα ἐπὶ πέτρας, ὃς μάλα σκυθρωπὸς ἦν. Καὶ ἐγὼ εἶπον· «χαῖρε, ὦ τᾶν· διὰ τί βλέπεις οὕτω τὴν θάλατταν; ἆρ′ οὐ γαλήνη;» ὁ δ′ ἀπεκρίνετο· «γαλήνη δή· ἀλλὰ διὰ τί; ὅτι ἡ θάλαττα σύκων ἐπιθυμεῖ.»


Πρὸς ταῦτα ἐγὼ ἠρώτησα· «διὰ τί δὴ λέγεις τὴν θάλατταν σύκων ἐπιθυμοῦσαν;» ὁ δ′ εἶπεν· «λέξω σοι, ἐὰν ἐθέλῃς ἀκούειν. Ἐγὼ γὰρ ἦν βούκολος, καὶ εἶχον βοῦς, ἀλλὰ τὸ βουκολεῖν


οὐκ ἤρεσκέ μοι· ἤθελον γὰρ πλουτεῖν ταχέως. Ἐπώλησα οὖν τοὺς βοῦς καὶ ἠγόρασα σῦκα.


ὁ ἔμπορος : ὁ πωλητής

Ἐπιβαίνω δʹ ἐπὶ πλοῖον ἔχων σῦκα καὶ πλέω ἐπὶ Βυζαντίου, ἔμπορος δὴ ὤν· ἄνεμος μέντοι μέγας ἔπνει, καὶ κατέδυσε τὸ πλοῖον, καὶ ἐναυάγησα· τὰ δὲ σῦκα πανταχοῦ ἦν ἤδη. Λαβούσης δὲ τῆς θαλάττης τὰ σῦκα, πάλιν ἦν γαλήνη. Δοκεῖ οὖν μοι ἡ θάλαττα σύκων ἐπιθυμεῖν.» Μετὰ δὲ ταῦτα ὁ ἄνθρωπος ἐσίγησα καὶ οὐκ εἶπεν οὐδέν.

Εἴδομεν δὲ καὶ πλοῖόν τι ἕτοιμον ἐπὶ τῷ ὅρμῳ. Ἐνῆσαν δʹ ἐν τῷ πλοίῳ ἑπτὰ ναῦται, ὧν οἱ μὲν δύο μετεχείριζον τὰ ὅπλα τοῦ πλοίου, ὁ θʹ εἷς κυβερνήτης ὢν ἐκυβέρνα, οἱ δʹ ἄλλοι ναῦται. Ἰδόντες δὲ τὸ πλοῖον εἰσβαίνομεν.



ὁ ὅρμος : ὁ λιμήν


ὁ βούκολος τοὺς βοῦς βουκολεῖ

ἤρεσκε < ἀρέσκει μοι ↔ φθονῶ

πλουτεῖν : εἶναι πλούσιος


ταχέως : εὐθύς


ἐπιβαίνω ἐπὶ τὸ πλοῖον

τὸ πλοῖον : ἡ ναῦς

τὸ πλοῖον πλεῖ < πλέω


κατέδυσε < καταδύω


ἐναυάγησα < ἀόρ. ναυαγέω

δοκεῖ μοι : νομίζω

ἐσίγησα < ἀόρ. σιγάω : οὐ λέγει

ἕτοιμος : παρασκευαζόμενος

μετεχείριζον < μεταχειρίζω : ἔχω τι ἐν ταῖς χερσίν

ἐκυβέρνα < παρατ. κυβερνάω

εἰσβαίνομεν : βαίνομεν ἔνδον

Πρῶτον μὲν οὔριος ἦν ἄνεμος, καὶ ἔτρεχεν ἡ ναῦς, ἀλλὰ μετ' οὐ πολὺν χρόνον ἐκόπασεν ὁ ἄνεμος καὶ γαλήνη ἦν ἡ θάλαττα. Μετὰ δὲ ὀλίγον ἤλθομεν εἰς Σαλαμῖνα.

Ὅταν δ' ἐντὸς τοῦ λιμένος ἀφικνώμεθα, ἐκβαίνομεν ἐκ τῆς νεὼς καὶ ὁ πατὴρ μετὰ τῶν ἄλλων παρασκευάζει τὸ δεῖπνον. Πρῶτον μὲν πῦρ ἔκαυσε· μετὰ δὲ ταῦτα ἐγγὺς τοῦ πυρὸς κατέβαλε μέγαν πίνακα, ἐφ' οὗ κατέθηκε τὸ νῶτον αἰγὸς καὶ τὴν ῥάχιν συός καὶ ἔτεμνε μαχαίρᾳ.


οὔριος ↔ λαβρότατος

ἐκόπασεν < ἀόρ. κοπάζω : παύω

τοῦ λιμένος < ὁ λιμήν

ἐξέβημεν < ἀόρ. ἐκβαίνω
ἐκβαίνω ↔ ἐπιβαίνω

τῆς νεώς < ἡ ναῦς



κατέθηκε < ἀόρ. κατατίθημι

ἔτεμνε < τέμνω


τὸ νῶτον αἰγός


τὴν ῥάχιν συός

Ἔπειτα δὲ ὁ πατὴρ ἔπηξε τὰ κρέα ὑπὲρ τῶν ἀνθράκων καὶ ὤπτησεν. Ὁ δὲ ναύαρχος ἔφερε μάζας ἐν κανῷ, ὁ δὲ πατὴρ ἔνειμε τὰ κρέα.


ἔπηξε < ἀόρ. πήγνυμι : τίθημι

ὤπτησε < ὀπτάω -ῶ

ὁ ναύαρχος· οὗτος ὃς ἄρχει τὴν ναῦν

τὸ κένεον : ἡ λεκάνη

ἔνειμε < ἀόρ. νέμω = δίδωμι καθ' ἕκαστον





ΑΣΚΗΣΕΙΣ

ΓΡΑΜΜΑΤΙΚΗ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Πόσα ἄπεστιν ἡ θάλαττα ἀπὸ τῆς κώμης;

Ἄπεστιν ὀγδοήκοντα μάλιστα στάδια.

α'. Τίνα εὗρον ἐν τῷ αἰγιαλῷ;

β'. Διὰ τί ἐναυάγησεν ὁ ἔμπορος;

γ'. Ποῖ ἀφίκοντο;

δ'. Τίνα κατέθηκε ὁ Φίλιππος ἐπὶ τοῦ πίνακος;

ε'. Ποῦ ἔφερε μάζας ὁ ναύαρχος;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. θάλαττα

θάλαττα + κράτος   θάλαττα + θεραπεία

β'. ναῦς

ἄστρον + ναῦς   κόσμος + ναῦς



Γ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ἐπώλησα τοὺς β<u>οῦς</u> καὶ ἠγόρασα σῦκ<u>α</u>.

α'. Ἐνῆσαν ἐν τῷ πλοί___ ἑπτὰ ναῦτ___.

β'. Οὔριος ἦν ἄνεμ___, καὶ ἔτρεχεν ἡ να___.

γ'. Ὅταν ἐντὸς τοῦ λιμέν___ ἀφικνώμεθα,
ἐκβαίνομεν ἐκ τῆς νε___.

δ'. Ἐγγὺς τοῦ πυρ___ κατέβαλε πίνακ___.

ε'. Κατέθηκε τὸ νῶτ___ αἰγ___ καὶ τὴν ῥάχ___
συ___.

ἡ ναῦς	αἱ νῆες
τὴν ναῦν	τὰς ναῦς
τῆς νεώς	τῶν νεῶν
τῇ νηί	ταῖς ναυσί(ν)

ὁ λιμήν, τοῦ λιμένος
ὁ σῦς, τοῦ συός
ἡ αἴξ, τῆς αἰγός
τὸ πῦρ, τοῦ πυρός
[§ III.3.]

ΓΡΑΜΜΑΤΙΚΗ

Ἡ ὑποτακτικὴ ἔγκλισις

(ἐνεστὼς χρόνος)

(ἐνεργ. διάθεσις)

	εἰμί	Α (ἐ)θέλω
ἐγὼ	ὦ	ἐθέλω
σὺ	ᾖς	ἐθέλῃς
οὗτος...	ᾖ	ἐθέλῃ
ἡμεῖς	ὦμεν	ἐθέλωμεν
ὑμεῖς	ἦτε	ἐθέλητε
οὗτοι...	ὦσι(ν)	ἐθέλωσι

(μέσ. καὶ παθ. διαθέσεις)

	B_2 ἀφικνοῦμαι
ἐγὼ	ἀφικνῶμαι
σὺ	ἀφικνῇ
οὗτος...	ἀφικνῆται
ἡμεῖς	ἀφικνώμεθα
ὑμεῖς	ἀφικνῆσθε
οὗτοι...	ἀφικνῶνται

[§ VII.7.]



Δ΄. Πλήρωσον ταῖς καταλήξεσι.

. Ὅταν ᾖ γαλήνη, γελᾷ ἡ θάλαττα.

α'. Διὰ τί βλέπ____ οὕτω τὴν θάλατταν;

β'. Λέξω σοι, ἐὰν ἐθέλ____.

γ'. Ἐπιβαίν____ ἐπὶ πλοῖον καὶ πλέω ἐπὶ Βυζαντίου.

δ'. Ὅταν ἐντὸς τοῦ λιμένος ἀφικν____, ἐκβαίνομεν ἐκ τῆς νεώς



Ε΄. Κατάβαλε τὰ ῥήματα εἰς τὸ κιβωτὸν κατὰ τοὺς χρόνους.

λέγομεν	ἦν	εἶπον	εὕρομεν
ἀπεκρίνετο	βλέπεις	λέξω	εἶχον
ἠγόρασα	ἐκυβέρνα	κατέβαλε	κατέθηκε
ἔπηξε	ἐπιβαίνω	ἄπεστι	γελᾷ

Ἐνεσ.	Παρατ.	Ἀόρ.	Μέλ.



ΣΤ'. Τί ἐστιν ἀληθές;

. Ὅταν ᾖ γαλήνη, γελᾷ ἡ θάλαττα.

- Γαλήνη οὖσα γελᾷ ἡ θάλαττα.

- Ἡ θάλαττα γελᾷ, διότι ἐστὶ γαλήνη.

α'. Λαβούσης τῆς θαλάττης τὰ σῦκα, ἦν γαλήνη.

- Ὅταν λάβῃ ἡ θάλαττα τὰ σῦκα, ἦν γαλήνη.

- Ἦν γαλήνη, ὅτι ἡ θάλαττα ἔλαβε τὰ σῦκα.

β'. Δοκεῖ μοι ἡ θάλαττα σύκων ἐπιθυμεῖν.

- Νομίζω ὅτι ἡ θάλαττα σύκων ἐπιθυμεῖ.

- Ἡ θάλαττα σύκων ἐπιθυμεῖ, διότι δοκεῖ μοι.

γ'. Ὅταν ἐντὸς τοῦ λιμένος ἀφικνώμεθα, ἐκβαίνομεν ἐκ τῆς νεώς.

- Ἐντὸς τοῦ λιμένος ἀφικνόμεθα ἐκβαίνοντες ἐκ τῆς νεώς.

- Ἐκβαίνομεν ἐκ τῆς νεὼς, ἐπειδὴ ἐντὸς τοῦ λιμένος ἀφικνόμεθα.

ΛΕΞΕΙΣ


αἰγιαλός (ὁ)
αἴξ, αἰγός (ὁ, ἡ)
ἄνθραξ, ακος (ὁ)
βούκολος (ὁ)
γαλήνη (ἡ)
κάνεον [οῦν] (τό)
κρέας, κρέως (τό)
κυβερνήτης (ὁ)
λιμήν, ένος (ὁ)
μάχαιρα (ἡ)
ναύαρχος (ὁ)
ναῦς, νεώς (ἡ)
ναύτης (ὁ)
ὅρμος (ὁ)
πίναξ, ακος (ὁ)
πλοῖον (τό)
πῦρ, πυρός (τό)
ῥάχις, εως (ἡ)
σῦς, συός (ὁ, ἡ)
Σαλαμίς, ῖνος (ἡ)
τᾶν
ἔμπορος, ον
ἕτοιμος, η, ον
οὔριος, α, ον
σκυθρωπός, όν
ἀποκρίνομαι
ἀρέσκω
βουκολέω -ῶ
δοκέω -ῶ
εἰσβαίνω
ἐκβαίνω
ἐπιβαίνω
ἐπιθυμέω -ῶ
καταδύω
κατατίθημι
κοπάζω
κυβερνάω -ῶ

μεταχειρίζω
ναυαγέω -ῶ
νέμω
ὀπτάω -ῶ
πήγνυμι
πλέω
πλουτέω -ῶ
σιγάω -ῶ
τέμνω
ὅταν
ταχέως
ὑπέρ



Ζ΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Ἡ θάλαττα οὐκ ἦν γαλήνη.		X
Τῷ ἀνθρώπῳ ἤρεσκε τὸ βουκολεῖν.		
Ἠγόρασε πάντας τοὺς βοῦς.		
Ἔχων βοῦς πλεῖ ἐπὶ Βυζαντίου.		
Πλέων ἐπὶ Βυζαντίου κατέδυσε τὸ πλοῖον.		
Ἦν πάλιν γαλήνη, διότι ἡ θάλαττα ἔλαβε τὰ σῦκα.		



Η ΣΑΛΑΜΙΣ (β′)

Ἐσθιόντων δὴ ἡμῶν, τῶν ναυτῶν τις, ἀνὴρ γέρων, «φεῦ, ἔφη, εἶδον ἐγὼ τὰ γενόμενα ἐν ταύτῃ τῇ θαλάττῃ.» Ὁ δὲ πατὴρ, «τί λέγεις, ἔφη, ὦ γέρον; ἄσμενοι γὰρ ἐθέλομεν ἀκούειν.» Ὁ δέ, «ἐνταῦθα γὰρ, ἔφη, ἐγένετο μάχη μεγίστη, ἐν ᾗ βασιλεύς τις ἐνικήθη· ἐναυμάχουν δ′ ἐγώ.»

Μετ′ ὀλίγον δὲ εἶπε· «ἦν μὲν, ὦ Φίλιππε, ὁ μέγιστος βασιλεὺς τῶν Μήδων, ὁ Ξέρξης, ὃς θεὸς εἶναι ἐδόκει. Οὗτος δὴ ἔπεμψεν ἀγγέλους δεῦρο γῆν καὶ ὕδωρ αἰτήσοντας· οὐ τυχὼν δὲ γῆς καὶ ὕδατος – οἱ γὰρ Ἕλληνες, ἔφη, οὔκ εἰσι δὴ δοῦλοι τῶν Μήδων, οὐδ′ ἔσονται οὐδέποτε – στρατὸν συνελέξατο ὡς καταστρεψόμενος τὴν Ἑλλάδα. Εἶχε δ′ ἡ ναυτικὴ στρατιὰ πολλὰς μυριάδας ἀνθρώπων, πολλὰς δὲ ἡ πεζή.

ὁ γέρων



ἔφη < παρατ. φημί = λέγω

ἐνικήθη < ἀόρ. παθ. νικάω -ῶ

ἐναυμάχουν < ναυμαχέω -ῶ
ναυμαχέω -ῶ : μάχομαι ναυσί

αἰτήσοντας < μετ. μέλ. αἰτέω -ῶ
αἰτέω -ῶ : κελεύω

τυχών < τυγχάνω (+ γεν.): ἔχω, λαμβάνω




ὁ στρατός =ἡ στρατιά

(ὡς) κατραστρεψόμενος < καταστρέφομαι : κρατέω

ἡ μυριάς = δέκα χιλιάδες (χιλία)

ἡ πεζή = ἡ στρατιά ἐν τῇ γῇ

Οἱ δ' Ἀθηναῖοι πάντες φοβούμενοι ἔφυγον εἰς Σαλαμῖνα· οἱ δὲ Πέρσαι νικήσαντες ἐν Θερμοπύλαις τὸν Λεωνίδαν τε καὶ τοὺς στρατιώτας, κατέκαυσαν τὰς Ἀθήνας καὶ τὴν ἀκρόπολιν, ἐν ᾧ τὸ ναυτικὸν παρέπλει εἰς τὸ Φάληρον. Νυκτὸς δὲ περιπέμψαντες νῆάς τινας περὶ τὴν Σαλαμῖνα, ἔκλῃον τὸν ἀφ' ἑσπέρας πορθμὸν τῆς νήσου, ὥστε μηδένα ἀποφυγεῖν. Ἡμεῖς δὲ οἱ Ἕλληνες ἐν μέσῳ τούτων εἴχομεν δέος τε καὶ ὀρρωδίαν.»



Ὁ δὲ ναύτης, «πρῶτον μὲν, ἔφη, οἱ στρατηγοὶ οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα, ὡς οἱ Πέρσαι τοὺς Ἀθηναίους κυκλοῖεν δή· ἔπειτα δὲ ταῦτα πυθόμενοι, παρεσκευάζοντο πρὸς ναυμαχίαν. Ὁ δὲ Θεμιστοκλῆς, ἀνὴρ Ἀθηναῖος, ἐκέλευε τοὺς ἄνδρας εἰσβαίνειν εἰς τὰς ναῦς. Καὶ οὗτοι μὲν δὴ εἰσέβαινον καὶ ἀνήγοντο· οἱ δὲ βάρβαροι εὐθὺς ἀντανήγοντο.

παρέπλει = ἔπλει παρὰ τὴν γήν

περιπέμψαντες < περιπέμπω

ἔκλῃον < κλῄω, κλείω
κλείω ↔ ἀνοίγω


ἀποφυγεῖν < ἀποφεύγω : φεύγω

τὸ δέος = ὁ φόβος : ἡ ὀρρωδία

ὁ στρατηγός : ὁ ἄρχων τὸν στρατόν

ἐπείθοντο < πείθομαι : νομίζω

ἐξαγγελθέντα < ἐξαγγέλλω = ἀγγέλλω



κυκλοῖεν < κυκλόω -ῶ


πυθόμενοι < ἀόρ. πυνθάνομαι = γιγνώσκω

ἀνήγοντο < ἀνάγομαι : ἐκπλέω

οἱ βάρβαροι ↔ οἱ Ἕλληνες

ἀντανήγοντο = ἀνήγοντο πρὸς αὐτούς

Οἱ μὲν δὴ ἄλλοι Ἕλληνες ἐπὶ πρύμναν ἀνεκρούοντο, καὶ ὤκελλον τὰς νῆας· Ἀμεινίας δὲ, ἀνὴρ Ἀθηναῖος, ἐξαναχθεὶς νηῒ ἐμβάλλει· οἱ δ′ ἄλλοι ὁρῶντες ταῦτα ἐβοήθουν. Οὕτως ἐγένετο τῆς ναυμαχίας ἡ ἀρχή.



Τὸ δὲ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλαμῖνι διεφθείρετο, αἱ μὲν ὑπ′ Ἀθηναίων, αἱ δὲ ὑπ′ Αἰγινητῶν. Τῶν γὰρ Ἑλλήνων σὺν κόσμῳ ναυμαχούντων καὶ κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὔτε τεταγμένων ἔτι οὔτε σὺν νῷ ποιούντων οὐδὲν, τοιοῦτο αὐτοῖς συνέβη.

Κατὰ μὲν τοὺς ἄλλους οὐκ οἶδα ἀκριβῶς, ὡς ἠγωνίζοντο ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων· κατὰ δὲ Ἀρτεμισίαν τάδε ἐγένετο, ἀφ′ ὧν ηὐδοκίμησε μᾶλλον ἔτι παρὰ τῷ βασιλεῖ. Αὕτη γὰρ, γυνὴ οὖσα, ἐστρατεύσατο ἐπὶ τὴν Ἑλλάδα· ἀποθανόντος γὰρ τοῦ ἀνδρὸς, ἡ Ἀρτεμισία εἶχε τὴν τυραννίδα τῆς Ἁλικαρνασσοῦ.

ἐπὶ πρύμναν ἀνεκρούοντο = ἔπλεον εἰς τὸ ὄπισθεν

ὤκελλον < ὀκέλλω = ὁρμίζω (ὅρμος) : πλέω εἰς τὸν λιμένα

ἐξαναχθείς < ἀόρ. ἐξανάγομαι : ἀνάγομαι

ἐβοήθουν < βοηθέω -ῶ ↔ λείπω

ἡ ἀρχή ↔ ἡ τελευτή

τὸ πλῆθος τῶν νεῶν = πολλαὶ τῶν νεῶν

σὺν κόσμῳ : κατὰ κόσμον/τάξιν

τεταγμένων < μετ.παρακ. τάττω : κοσμῶ εἰς μάχην

ἔτι = ἤδη

σὺν νῷ : εὖ, καλῶς

συνέβη : ἐγένετο

οἶδα < παρακ. ὁρῶ = γιγνώσκω

ἀκριβῶς : ἀληθῶς

ηὐδοκίμησε < εὐδοκιμέω -ῶ ↔ φθονέω

ἐστρατεύσατο < στρατεύω στρατεύω : μάχομαι

ἡ τυραννίς, ὁ τύραννος

ὁ θόρυβος ↔ ἡ σιγή, ἡ γαλήνη


τὰ πράγματα : τὰ γενόμενα

ἐν τούτῳ τῷ καιρῷ : ἐν τούτῳ τῷ χρόνῳ

ἐδιώκετο < διώκω
διώκω : βαίνω / πλέω ὄπισθεν

διαφυγεῖν : φυγεῖν

Ἐπειδὴ γὰρ εἰς πολὺν θόρυβον ἀφίκετο τὰ βασιλέως πράγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ ναῦς ἡ Ἀρτεμισίας ἐδιώκετο ὑπὸ νεὼς Ἀττικῆς· ἡ δ' οὐκ ἔχουσα διαφυγεῖν, ἔμπροσθεν γὰρ αὐτῆς ἦσαν ἄλλαι νῆες φιλίαι, ἔδοξε αὐτῇ τόδε ποιῆσαι· διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς, ἐνέβαλε νηῒ φιλίᾳ καὶ κατέδυσε.



ἐνέβαλε νηῒ φιλίᾳ καὶ κατέδυσε

ὁ τριήραρχος : ὁ ἄρχων τριήρη

αὐτομολέω -ῶ : ἀπολείπω, ἄπειμι

ἀποστρέψας : στρέψας

ἐτράπετο < ἀόρ. τρέπω : πλέω

ηὐδοκίμησε < εὐδοκιμέω -ῶ
εὐδοκιμέω = εὖ δοκοῦμαι

θεώμενον < θεάομαι = βλέπω

δέσποτα : βασιλεῦ

Ὁ οὖν τῆς Ἀττικῆς νεὼς τριήραρχος, ὡς εἶδεν αὐτὴν ἐμβάλλουσαν νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν ναῦν τὴν Ἀρτεμισίας ἢ Ἑλληνίδα εἶναι ἢ αὐτομολεῖν ἐκ τῶν βαρβάρων, ἀποστρέψας πρὸς ἄλλας ἐτράπετο. Καὶ ἀπὸ τούτων αὕτη μάλιστα ηὐδοκίμησε παρὰ Ξέρξῃ.

Λέγεται γὰρ τὸν βασιλέα θεώμενον μαθεῖν τὴν ναῦν ἐμβαλοῦσαν, καὶ δή τινα τῶν παρόντων εἰπεῖν· «δέσποτα, ὁρᾷς Ἀρτεμισίαν

ὡς εὖ ἀγωνίζεται καὶ ναῦν τῶν πολεμίων κατέδυσεν;», τὸν δὲ βασιλέα ἐρωτᾶν εἰ ἀληθῶς ἐστιν Ἀρτεμισίας τὸ ἔργον, καὶ τοὺς δὲ φάναι, σαφῶς τὸ ἐπίσημον τῆς νεὼς ἐπισταμένους. Τὴν δὲ διαφθαρεῖσαν ναῦν ἠπίστατο εἶναι πολεμίαν.


Λέγεται δὲ Ξέρξην εἰπεῖν πρὸς τὰ λεγόμενα, «οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες.» Ταῦτα μὲν Ξέρξην φασὶν εἰπεῖν.»

Τοῦ δὲ ναύτου λέγοντος ταῦτα, ἐβλέπομεν εἰς τόν τε πορθμὸν καὶ τὴν ἤπειρον, καὶ ἐθαυμάζομεν τοὺς προγόνους ὡς ἀνδρείους ὄντας καὶ ἐλευθερώσαντας τὴν πατρίδα.

Ἑσπέρας δὲ γενομένης κατεπλεύσαμεν Ἀθήναζε, πεζῇ δ᾽ ἀφικόμεθα οἴκαδε.



τὸ ἐπίσημον



ἐπισταμένους < ἐπίσταμαι
ἐπίσταμαι = γιγνώσκω

γεγόνασι < παρακ. γίγνομαι

ἡ ἤπειρος : ἡ γῆ

οἱ πρόγονοι = οἱ πάλαι

ἐλευθερώσαντας < ἐλευθερόω
ἐλευθερόω ↔ καταστρέφομαι

ἡ πατρίς : ἡ Ἑλλάς

ἐθαυμάζομεν τοὺς προγόνους ὡς ἀνδρείους ὄντας καὶ ἐλευθερώσαντας τὴν πατρίδα : ἐθαυμάζομεν τοὺς προγόνους ὡς ἀνδρείους εἶναι καὶ ἐλευθερῶσαι τὴν πατρίδα.

κατεπλεύσαμεν < καταπλέω : πλέω πάλιν εἰς τὴν γήν

πεζῇ = κατὰ γήν

ΑΣΚΗΣΕΙΣ



Α΄. Ἀπόκριναι πρὸς τὰ ἐρωτήματα.

. Πότε εἶπεν ὁ ναύτης;

Ἐσθιόντων τούτων, ὁ ναύτης εἶπεν.

α'. Περὶ τίνος λέγει ὁ ναύτης;

β'. Ποῦ ἐνίκησαν οἱ Πέρσαι τὸν Λεωνίδαν τε καὶ τοὺς στρατιώτας;

γ'. Διὰ τί τὸ πλῆθος τῶν Μηδικῶν νεῶν διεφθείρετο ἐν τῇ Σαλαμῖνι;

δ'. Τίς ἦν ἡ Ἀρτεμισία;

ε'. Τί εἶπεν ὁ Ξέρξης πρὸς τὸ τῇ Ἀρτεμισίᾳ γενόμενον;



Β΄. Ἐν τῇ γλώττῃ σου.

α'. γῆ

γῆ + λόγος	γῆ + γραφία
γῆ + μέτρον	γῆ + κέντρον + -ισμός

β'. ὕδωρ

ὕδωρ + γράφω	ὕδωρ + θεραπεία
ὕδωρ + σφαῖρα	ὕδωρ + αὐλός + -ικος



Γ΄. Ἄλλαξον τοὺς λόγους εἰς τὴν ἐνεργητικὴν διάθεσιν.

. Βασιλεύς τις ἐνικήθη ὑπὸ τῶν Ἑλλήνων.
. Οἱ Ἕλληνες ἐνίκησαν βασιλέα τινά.

α'. Αἱ νῆες διεφθείρετο ὑπὸ τῶν Ἀθηναίων.

____

β'. Αἱ νῆες διεφθείρετο ὑπὸ τῶν Αἰγινητῶν.

____

γ'. Ἡ Ἀρτεμισία ἐδιώκετο ὑπὸ νεὼς Ἀττικῆς.

____



Δ΄. Ἄλλαξον εἰς τὴν παθητικὴν μετοχήν τοῦ ἐνεστῶτος χρόνου.

. Οἱ Ἀθηναῖοι, *ἐπειδὴ ἐφοβοῦντο*, ἔφυγον εἰς Σαλαμῖνα.
Οἱ Ἀθηναῖοι φοβούμενοι ἔφυγον εἰς Σαλαμῖνα.

α'. *Ἐπειδὴ* ἡ Ἀρτεμισίας ναῦς *ἐδιώκετο* ὑπὸ τῆς Ἀττικῆς, ἐνέβαλε νηῒ φιλίᾳ.

Ἡ Ἀρτεμισίας ναῦς __________ ὑπὸ τῆς Ἀττικῆς, ἐνέβαλε νηῒ φιλίᾳ.

β'. *Ἐν ᾧ* ὁ βασιλεὺς *ἐθηεῖτο*, ἔμαθε τὴν ναῦν ἐμβαλοῦσαν.

Ὁ βασιλεὺς ______ ἔμαθε τὴν ναῦν ἐμβαλοῦσαν.

γ'. Ὁ Ξέρξης εἶπε πρὸς *ταῦτα ἃ ἐλέγετο* (...)

Ὁ Ξέρξης εἶπε πρὸς τὰ __________ (...)

ΓΡΑΜΜΑΤΙΚΗ

Ἡ παθητικὴ μετοχὴ
(ἐνεστὼς χρόνος)

Α′. λέγεται → λεγόμενος, η, ον
Β′. φοβεῖται → φοβούμενος, η, ον

ἀρσ.	(ὁ) λεγόμενος
	(οἱ) λεγόμενοι
θηλ.	(ἡ) λεγομένη
	(αἱ) λεγόμεναι
οὐδ.	(τὸ) λεγόμενον
	(τὰ) λεγόμενα

[§ VII.9.]

ΓΡΑΜΜΑΤΙΚΗ

Ἡ ἐνεργητικὴ μετοχὴ
(ἀόριστος χρόνος)

ἀρσ.	(ὁ) νομίσας
	(οἱ) νομίσαντες
θηλ.	(ἡ) νομίσασα
	(αἱ) νομίσασαι
οὐδ.	(τὸ) νομίσαν
	(τὰ) νομίσαντα

[§ VII.9.]



Ε΄. Ἄλλαξον εἰς τὴν παθητικὴν μετοχήν τοῦ ἀορίστου χρόνου.

. Οἱ Πέρσαι <u>νικήσαντες</u> (νικάω -ῶ) ἐν Θερμοπύλαις, κατέκαυσαν τὰς Ἀθήνας.

α'. __________ (περιπέμπω) νῆάς τινας περὶ τὴν Σαλαμῖνα, ἔκληον τὸν πορθμόν.

β'. __________ (νομίζω) τὴν ναῦν τὴν Ἀρτεμισίας Ἑλληνίδα εἶναι, __________ (ἀποστρέφω) πρὸς τὰς ἄλλας ἐτράπετο.

γ'. Ἐθαυμάζομεν τοὺς προγόνους __________ (ἐλευθερόω -ῶ) τὴν πατρίδα.



ΣΤ΄. Ἄλλαξον τὰς φράσεις ὡς σημανούσας τὸ αὐτό.

. Ἐσθιόντων ἡμῶν, τῶν ναυτῶν τις ἔφη...

Ἐν ᾧ ἐσθίομεν ἡμεῖς, τῶν ναυτῶν τις ἔφη...

α'. Τῶν Ἑλλήνων σὺν κόσμῳ ναυμαχοῦντων, τοιοῦτο αὐτοῖς συνέβη.

Ἐπειδὴ ______________________________

β'. Τοῦ ναύτου λέγοντος ταῦτα, ἐβλέπομεν εἰς τὸν πορθμόν.

Ἐν ᾧ ______________________________

γ'. Ἑσπέρας γενομένης κατεπλεύσαμεν Ἀθήναζε.

Ἐπεὶ ______________________________

δ'. Ἀποθανόντος τοῦ ἀνδρὸς, αὕτη εἶχε τὴν Ἁλικαρνασσοῦ τυραννίδα.

Ἐπεὶ ______________________________



Ζ'. Πλήρωσον τῇ μετοχῇ.

ἐξαναχθείς	πυθόμενοι
~~γενόμενα~~	αἰτήσοντας
ἐξαγγελθέντα	γενομένης
καταστρεφόμενος	

. Εἶδον τὰ γενόμενα ἐν ταύτῃ τῇ θαλάττῃ.

α'. Ταῦτα ________, παρεσκευάζοντο πρὸς ναυμαχίαν.

β'. Ἑσπέρας _______ κατεπλεύσαμεν Ἀθήναζε.

γ'. Οἱ στρατηγοὶ οὐκ ἐπείθοντο τὰ ________.

δ'. Ἀμεινίας ________ νηῒ ἐμβάλλει.

ε'. Οὗτος ἔπεμψεν ἀγγέλους δεῦρο γῆν καὶ ὕδωρ ________.

στ'. Στρατὸν συνελέξατο ὡς ________ τὴν Ἑλλάδα.

ΛΕΞΕΙΣ

ἀρχή (ἡ)
γέρων, οντος (ὁ)
δέος, ους (τό)
δεσπότης (ὁ)
ἤπειρος (ἡ)
θόρυβος (ὁ)
καιρός (ὁ)
μυριάς, άδος (ἡ)
νοῦς (ὁ)
ὀρρωδία (ἡ)
πατρίς, ίδος (ἡ)
πλῆθος, ους (τό)
πορθμός (ὁ)
πράγμα, ατος (τό)
πρύμνα (ἡ)
στρατηγός (ὁ)
στρατός (ὁ)
τάξις, εως (ἡ)
τριήραρχος (ὁ)
τυραννίς, ίδος (ἡ)
βάρβαρος, ον
ἐπίσημος, ον
πεζός, ή, όν
πρόγονος, ον
αἰτέω -ῶ
ἀνάγομαι
ἀνακρούομαι
ἀντανάγομαι
ἀποστρέφω
ἀποφεύγω
αὐτομολέω -ῶ
βοηθέω -ῶ
διαφεύγω
διώκω
ἐλευθερόω -ῶ
ἐξαγγέλλω
ἐξανάγομαι

εὐδοκιμέω -ῶ
θεάομαι -ῶμαι
καταπλέω
καταστρέφω, -ομαι
κλῄω, κλείω
κυκλόω -ῶ
μέλλω
ναυμαχέω -ῶ
ὀκέλλω
παραπλέω
πείθω, -ομαι
περιπέμπω
πυνθάνομαι
στρατεύω, -ομαι
τάττω
τρέπω, -ομαι
τυγχάνω
φημί
ἀκριβῶς
ἔτι
πεζῇ
σύν



Η΄. Ἐπεῖπε ἀληθῶς ἢ ψευδῶς.

	ἀλ.	ψευ.
Ἐν τῇ μεγίστῃ μάχῃ βασιλεύς τις ἐνικήθη.	X	
Ὁ Ξέρξης ἦν τῶν Ἑλλήνων βασιλεύς.		
Οἱ ἄγγελοι γῆν τε καὶ ὕδωρ αἰτοῦσιν.		
Μετὰ τὴν ἐν Θερμοπύλαις μάχην οἱ Ἀθηναῖοι ἔφυγον εἰς Σαλαμῖνα.		
Οἱ Ἀθηναῖοι διέφθειραν πολλὰς τῶν Μήδων ναῦς.		

ΛΟΓΟΙ ΤΩΝ ΑΚΟΥΣΤΙΚΩΝ ΚΑΤΑΝΟΗΣΕΩΝ

ΚΕΦΑΛΑΙΟΝ Α′

Ο ΑΛΦΑΒΗΤΟΣ (α′)

ΣΤ′

λόφος – θέμα - ἀντί – πόλις
σῦκα – ἤ - κώμη – θνητός

Ζ′

λόγος, πόλις, δέρμα
φύσις, πρᾶξις, θέμα
λόφος, ὀψέ, κόσμος
ζῷον, φωνή, πρόβλημα

ΤΙΣ ΕΙ ΣΥ; (β′)

Ἀλέξ.· Χαῖρε. Τίς εἶ σύ;
Πάτρ.· Χαῖρε. Ἐγώ εἰμι Πάτροκλος. Τί ὄνομά σοί ἐστιν;
Ἀλέξ.· Τὸ ὄνομά μοι Ἀλέξανδρός ἐστιν.
Πάτρ.· Τί ὄνομα αὐτῇ ἐστιν;
Ἀλέξ.· Τὸ ὄνομα αὐτῇ Ἑλένη ἐστίν. Ὦ Πάτροκλε, ποῦ οἰκεῖς;
Πάτρ.· Ἐγὼ οἰκῶ ἐν τῇ Σπάρτῃ. Ἆρα σὺ καὶ οἰκεῖς ἐν τῇ Σπάρτῃ;
Ἀλέξ.· Οὐχί. Ἐγὼ οὐκ οἰκῶ ἐν τῇ Σπάρτῃ, ἀλλὰ ἐν ταῖς Ἀθήναις.
Πάτρ.· Ἔρρωσο.
Ἀλέξ.· Ἔρρωσο.

ΚΕΦΑΛΑΙΟΝ Β′

ΤΙΣ ΕΙΜΙ ΕΓΩ; (α′)

Ε′

Ἐγώ εἰμι Ἑλληνικὸν παιδίον καὶ οἰκῶ ἐν ἀγροῖς. Ἐνταῦθα γὰρ ἐν τοῖς ἀγροῖς γεωργὸς ὁ Φίλιππός ἐστιν, ὃς γεωργεῖ καὶ ἔχει χωρίον.

Ἐγὼ μέν εἰμι τέκνον τοῦ Φιλίππου, οὗτος δὲ πατήρ μού ἐστιν. Καὶ ἄλλα τέκνα ἔχει ὁ Φίλιππος· ἐγώ εἰμι τέκνον αὐτοῦ καὶ ἔχω ἀδελφόν τε καὶ ἀδελφήν. Ὀνομάζουσι δ′ ἐμὲ μὲν Ἀλέξανδρον, τὸν δ′ ἀδελφὸν ὀνομάζουσι Στέφανον, τὴν δ′ ἀδελφὴν Ἑλένην. Ἐσμὲν οὖν τέκνα τοῦ Φιλίππου καὶ τῆς Εὐρυδίκης, ἣ μήτηρ ἐστίν.

ΣΤ′

Ἐγὼ Ἀλέξανδρός εἰμι καὶ οὐκ ἔχω τὸ χωρίον ἐν ᾧ οἰκοῦμεν, ἀλλὰ ὁ Φίλιππος. Ὁ μὲν Φίλιππος οὐκ ἔστι τέκνον μου, ἀλλ′ ἐγώ εἰμι τέκνον τοῦ Φιλίππου. Ἡ δ′ Εὐρυδίκη οὔκ ἐστιν ἀδελφή μου, ἀλλ′ ἡ Ἑλένη. Εἰμὶ δὲ τέκνον τῆς Εὐρυδίκης, οὐ τῆς Ἑλένης·

ἡ οὖν Ἑλένη ἀδελφή μού ἐστι καὶ τέκνον τοῦ Φιλίππου.

ΠΟΥ ΟΙΚΩ; (β′)

ΣΤ′

Ἡ Χαρά ἐστι τροφὸς ἐμή τε καὶ τῆς Ἑλένης. Οἰκοῦμεν ἡμεῖς ὁμοῦ, οἰκεῖ δὲ καὶ ἡ τροφὸς μεθ' ἡμῶν, ἡμεῖς δὲ μετὰ τῆς τροφοῦ. Ἐγὼ μὲν ὀνομάζω τὴν τροφὸν μάμμην, ἡ δ' Ἑλένη ὀνομάζει τὴν τροφὸν μάμμην, καὶ δὴ καὶ ὁ ἀδελφός· οἱ δ' ἄλλοι ὀνομάζουσι τὴν τροφὸν Χαράν.

Ζ′

Πάτρ.· Χαῖρε, ὦ Ἀλέξανδρε. Τίς ἐστι τροφὸς τῇ Ἑλένῃ;

Ἀλέξ.· Χαῖρε, ὦ φίλε μου. Ἡ Χαρὰ τροφός ἐστι τῇ Ἑλένῃ.

Πάτρ.· Ἆρ' ἔχει ἡ Χαρὰ χωρίον;

Ἀλέξ.· Οὐχί, οὐχ ἡ Χαρά, ἀλλὰ ὁ Φίλιππος ἔχει χωρίον.

Πάτρ.· Καὶ ποῦ οἰκεῖ ἡ τροφός;

Ἀλέξ.· Οἰκεῖ δὴ μεθ' ἡμῶν· οἰκοῦμεν οὖν ἅμα.

Πάτρ.· Ποῦ δ' οἰκεῖτε, ὦ Ἀλέξανδρε;

Ἀλέξ.· Ποῦ δὴ οἰκοῦμεν; ἐν χωρίῳ οἰκοῦμεν, ὦ φίλε.

ΚΕΦΑΛΑΙΟΝ Γ′

ΤΟ ΧΩΡΙΟΝ (α′)

Ὑψηλοὺς λόφους ἔχει κύκλῳ τὸ χωρίον, ἐν ᾧ οἰκοῦμεν ἐγώ τε καὶ ὁ Φίλιππος καὶ ἡ Εὐρυδίκη καὶ ὁ Στέφανος καὶ ἡ Ἑλένη, καὶ δὴ καὶ ἡ Χαρά, ἥ ἐστι τροφός. Οἰκοῦμεν δ' ἐν μέσῳ τῶν λόφων, οἳ περιέχουσι κύκλῳ τὸ χωρίον. Τί δή ἐστιν ἐν μέσῳ τῶν χωρίων; Ἐν μέσῳ τοῦ ἡμετέρου χωρίου καὶ τῶν ἄλλων ὁδός ἐστιν. Τὸ μὲν τοῦ Φιλίππου χωρίον οὔκ ἐστιν ἐξ ἀριστερᾶς, ἀλλὰ ἐκ δεξιᾶς, τὰ δ' ἄλλα χωρία ἐξ ἀριστερᾶς ἐστιν.

Ο ΚΗΠΟΣ (β′)

Ἀλέξ.· Ὦ Ἑλένη, ἐσμὲν ἐν τῷ κήπῳ, ὃς περιέχει τὴν οἰκίαν ἡμῶν, καὶ ἐν ᾧ πολλὰ δένδρα καὶ ἄλλα φυτὰ φυτεύομεν.

Ἑλ.· Τί ἐστι τοῦτο, ὦ Ἀλέξανδρε;

Ἀλέξ.· Τοῦτ' ἐστὶ σῦκον, ὅ ἐστι καρπὸς τῆς συκῆς, καὶ ἡ συκῆ ἐστι τοῦτο τὸ δένδρον.

Ἑλ.· Ἆρα τοῦτ' ἐστὶν ἄμπελος, ὦ ἀδελφέ;

Ἀλέξ.· Ναί, Ἑλένη. Καὶ ἀπὸ τῆς ἀμπέλου δρέπομεν σταφυλάς· καὶ τῶν σταφυλῶν τὰς μὲν ἐσθίομεν, τὰς δὲ πατοῦμεν ἐν τῇ ληνῷ καὶ ποιοῦμεν οὕτως οἶνον.

Ἑλ.· Καὶ ταῦτα τί ἐστιν;

Ἀλέξ.· Ταῦτ' ἐστὶ λάχανα, λέγω δή· σκόροδα καὶ κρόμμυα καὶ ῥάφανοι καὶ κύαμοι καὶ σέλινα.

Ἑλ.· Χάριν σοι ἔχω, ὦ ἀδελφέ.

ΚΕΦΑΛΑΙΟΝ Δ'

ΤΑ ΗΜΕΡΑ ΟΡΝΙΘΙΑ (α')

Ἐγώ τε καὶ ὁ Στέφανος ζητοῦμεν ᾠὰ ἐν τῷ χωρίῳ ἡμῶν καθ' ἡμέραν. Τὰ ἥμερα ὀρνίθια τίκτει ᾠὰ ἐν τῇ καλιᾷ. Ἆρ' ἐρωτᾷς πῶς ἐστι τὸ ᾠόν; Λέγω δή· τὸ ᾠόν ἐστι στρογγύλον καὶ μικρόν, καὶ τὰ μὲν τῶν ᾠῶν ἐστι λευκά, τὰ δ' οὔ.

Καθ' ἡμέραν τὰ ὀρνίθια τίκτει ᾠὰ καὶ ἡμεῖς ταῦτα ζητοῦμεν. Ἐκ δὲ τῆς καλιᾶς λαμβάνομεν τὰ ᾠὰ καὶ φέρομεν εἰς τὴν οἰκίαν. Ἡ δὲ μήτηρ ἡμῶν, ἡ Εὐρυδίκη, λαμβάνει τὰ ᾠὰ καὶ ἕψει. Οὕτως δὲ τροφὴν ἔχομεν καθ' ἡμέραν.

ΤΑ ΑΓΡΙΑ ΟΡΝΙΘΙΑ (β')

Ἀλέξ.· Ἆρ' ἀγνοεῖς, ὦ Ἑλένη, ὅτι ἐγὼ καὶ ὁ Στέφανος ἀναβαίνομεν πολλάκις ἐπὶ τὰ δένδρα;

Ἑλ.· Καὶ διὰ τί ἀναβαίνετε ἐπὶ τὰ δένδρα, ὦ Ἀλέξανδρε;

Ἀλέξ.· Ἐπειδὴ ζητοῦμεν τὰ ᾠὰ τῶν ἀγρίων ὀρνιθίων.

Ἑλ.· Ποῦ γὰρ δή ἐστι τὰ ᾠά;

Ἀλέξ.· Ταῦτα τὰ ᾠὰ ἐν ταῖς καλιαῖς ἐστιν. Τὰ ὀρνίθια, ὦ Ἑλένη, οἰκοδομεῖ τὰς καλιάς.

Ἑλ.· Ἆρα τοῦτ' ἐστὶν ᾠόν;

Ἀλέξ.· Οὐχί, ὦ ἀδελφή. Τὸ ᾠὸν μικρόν ἐστι καὶ στρογγύλον, καὶ ἐν τῷ ᾠῷ ἐστι τὸ νεόττιον.

Ἑλ.· Τὸ δὲ νεόττιον τί ἐστιν;

Ἀλέξ.· Τὸ νεόττιον τέκνον ὀρνιθίου ἐστίν.

Ἑλ.· Ἐγὼ γὰρ καὶ ἀναβαίνω ἐπὶ τὰ δένδρα.

Ἀλέξ.· Οὐχί. Σὺ εἶ μικρὰ καὶ τὰ δένδρα ὑψηλά, ὥστε διὰ ταῦτα οὐκ ἀναβαίνεις ἐπὶ τὰ δένδρα.

ΚΕΦΑΛΑΙΟΝ Ε΄

Η ΚΩΜΗ ΚΑΙ Η ΟΙΚΙΑ (α΄)

Πρῶτον μὲν ἐκ τῆς ὁδοῦ ὁρῶ τὸν μέγαν τοῖχον τῆς οἰκίας μου, ἐν ᾧ εἰσι δύο ἀνεῳγμέναι πύλαι. Ἐντὸς δὲ τῶν πυλῶν μεγάλη αὐλή ἐστιν, ἐν ᾗ ὁρῶ πολλὰ ζῷα. Καὶ ἐν τῇ αὐλῇ ἐστι μικρὰ δωμάτια καὶ ἐξ ἀριστερᾶς καὶ ἐκ δεξιᾶς. Ἐναντίον δ᾽ ἐκ τῆς αὐλῆς ὁρῶ τὸν πρόδομον, ὅς ἐστι καὶ ἀνεῳγμένος.

Ἐν δὲ τῇ οἰκίᾳ ἔνεισι τράπεζαι καὶ κλῖναι καὶ δίφροι. Τί δή ἐστι ἐπὶ τῆς τραπέζης; ἐπὶ τῆς τραπέζης ἐστὶν ὅσα ἐσθίομεν καὶ πίνομεν. Ὁ δὲ δίφρος τί ἐστιν; καθίζομεν δὴ ἐπὶ τοῦ δίφρου. Καὶ τί ποιοῦμεν ἐπὶ τῶν κλινῶν; ἐπὶ δὲ τῶν κλινῶν καθεύδομεν.

ΚΑΘ᾽ ΗΜΕΡΑΝ (β΄)

Ἐσμὲν ἐν τῇ οἰκίᾳ πέντε ἄνθρωποι· ὁ Φίλιππος καὶ ἡ Εὐρυδίκη καὶ τὰ τρία παιδία· δύο μὲν ἀδελφοί, ἐγὼ καὶ ὁ Στέφανος, μία δὲ ἀδελφή, ἡ Ἑλένη.

Ἐν δὲ τῇ οἰκίᾳ ἔνεισι ἓξ μὲν κλῖναι, ἐφ᾽ ὧν καθεύδομεν, εἴκοσι δὲ δίφροι, ἐφ᾽ ὧν καθίζομεν, τρεῖς δὲ τράπεζαι. Ἐσθίομεν δὲ τὰ σιτία ὅσα ἐστὶν ἐπὶ τῆς τραπέζης. Ἀριθμῶ δὲ καὶ τὰ τῆς οἰκίας δωμάτια, καὶ δέκα ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ΄

ΤΟ ΔΙΔΑΣΚΑΛΕΙΟΝ (α΄)

παιδ.· Ὦ Ἀλέξανδρε, ὥρα ἐστὶν παρὰ τὸν διδάσκαλον ἄγειν σε.

Ἀλέξ.· Ναί. Ἆρα φέρεις, ὦ παιδαγωγέ, τὸ πινακίον μου καὶ τὸν στύλον;

παιδ.· Ναί, ὦ Ἀλέξανδρε, φέρω δὴ ταῦτα.

...

Ἀλέξ.· Χαῖρε, ὦ διδάσκαλε.

διδ.· Χαῖρε, ὦ Ἀλέξανδρε. Τήμερον οὐ διδάσκω ἐντὸς τῆς οἰκίας, ἀλλὰ ἐν τῇ αὐλῇ, διότι θέρος ἐστίν.

Ἀλέξ.· Ἆρ᾽ εἰσὶ δίφροι ἔξω;

διδ.· Ναί, ὦ Ἀλέξανδρε. Ἔχεις πινακίον καὶ στύλον;

Ἀλέξ.· Ναί, ὦ διδάσκαλε. Πῶς γὰρ οὐκ;

διδ.· Ὦ Ἀλέξανδρε, πόσοι δίφροι εἰσὶν ἔξω;

Ἀλέξ.· Ἔξω εἰσὶ ἓξ δίφροι καὶ μία τράπεζα, ὦ διδάσκαλε.

διδ.· Χάριν σοι ἔχω, ὦ Ἀλέξανδρε.

ΤΑ ΤΟΥ ΟΜΗΡΟΥ ΕΡΓΑ (β')

διδ.· Χαίρετε, ὦ μαθηταί.

μαθ.· Χαῖρε, ὦ διδάσκαλε.

διδ.· Τήμερον ἐθέλω διδάσκειν ἐν τῇ αὐλῇ. Ὦ Ἀλέξανδρε, ποῦ ἔχεις τὸ πινακίον;

Ἀλέξ.· Τοῦτό ἐστιν ἐν τῇ οἰκίᾳ, ἀλλὰ γράφω ἐπὶ τῆς γῆς.

διδ.· Μάλιστα. Τήμερον μανθάνομεν τὸν Ὅμηρον καὶ τὰ αὐτοῦ ἔργα.

Ἡφ.· Ὦ διδάσκαλε, πῶς γράφω ΟΜΗΡΟΣ;

διδ.· Γράφομεν οὕτως· ὂ μικρόν, μῦ, ἦτα, ῥῶ, ὂ μικρὸν καὶ σῖγμα· "Ὅμηρος".

Ἡφ.· Οὑτωσί, ὦ διδάσκαλε· ὂ μικρόν, μῦ, ἦτα, ῥῶ, ὂ μικρὸν καὶ σῖγμα;

διδ.· Ναί, ὦ Ἡφαιστίων.

Ἡφ.· Χάριν σοι ἔχω, ὦ διδάσκαλε.

ΟΙ ΑΡΙΘΜΟΙ ΚΑΙ ΤΟ ΣΩΜΑ (γ')

Διάλογος Α'

- Τί ποιεῖς, ὦ Θρασύμαχε;
- Ἀναγιγνώσκω τὰ τοῦ Ὁμήρου ἔργα.

Διάλογος Β'

- Τί ἐστι τοῦτο;
- Τοῦτ' ἐστὶ τὸ βιβλίον τοῦ διδασκάλου.

Διάλογος Γ'

- Τίνι γράφεις, ὦ Ἀλέξανδρε;
- Γράφω στύλῳ ἐν τῷ πινακίῳ.

Διάλογος Δ'

- Ποῦ εἰσι αἱ τράπεζαι;
- Αἱ τράπεζαι ἐν μέσῳ τοῦ διδασκαλείου εἰσίν.

Διάλογος Ε'

- Ποῦ ἐστιν ὁ στύλος;
- Ὁ στύλος ἐκ δεξιᾶς τοῦ πινακίου ἐστίν.

Διάλογος ΣΤ'

- Ποῦ εἶ, ὦ παιδαγωγέ;
- Ἔξω ὑπὸ τῷ δένδρῳ εἰμί.

ΚΕΦΑΛΑΙΟΝ Ζ′

Ο ΙΑΤΡΟΣ (α′)

Χαρά· Χαῖρε, ὦ Ἡρόδικε.

Ἡρόδ.· Χαῖρε, ὦ Χαρά. Ποῦ ἐστιν ὁ Ἀλέξανδρος;

Χαρά· Ὁ Ἀλέξανδρός ἐστιν ἐπὶ τῆς κλίνης.

Ἡρόδ.· Εἰσέρχομαι οἴκαδε.

...

Ἡρόδ.· Χαῖρε, ὦ Ἀλέξανδρε. Τί πάσχεις;

Ἀλέξ.· Ὦ ἰατρὲ, πρῴ ἔπεσον ἀπὸ δένδρου καὶ ἀλγῶ πολὺ τὴν κεφαλὴν καὶ τὸ τραῦμα τοῦ ποδὸς ἔχει αἷμα.

Ἡρόδ.· Λάμβανε καὶ πῖνε τοῦτο τὸ πῶμα τῇ ὀδύνῃ κεφαλῆς. Ὦ Χαρὰ, φέρε μοι ὕδωρ καὶ οἶνον.

Χαρά· Μάλιστα, ὦ ἰατρέ.

Ἡρόδ.· Νῦν δὴ λοῦω τὸ τραῦμα οἴνῳ καὶ ὕδατι, ὦ Ἀλέξανδρε.

Ἀλέξ.· Χάριν σοι ἔχω, ὦ ἰατρέ.

ΤΑ ΜΕΡΗ ΤΟΥ ΣΩΜΑΤΟΣ (β′)

"Αἱ πέντε αἰσθήσεις"

Ἡ κεφαλή ἐστι τὸ μέγιστον μέρος τοῦ σώματος. Δεῦρο δ′ ἔχομεν τοὺς ὀφθαλμοὺς καὶ τούτοις ὁρῶμεν· ἐστὶ γὰρ ἡ ὄψις. Κάτω δὲ ἡ ῥίς ἐστι, καὶ ταύτῃ ὀσφραινόμεθα· ἐστὶ γὰρ ἡ αἴσθησις τῆς ὀσφρήσεως. Ἐν δὲ τῷ στόματί ἐστιν ἡ αἴσθησις τοῦ γεύματος. Ἐπὶ δὲ ἑκατέρου μέρους τῆς κεφαλῆς εἰσι τὰ ὦτα, οἷς ἀκούομεν· ἐστὶ γὰρ ἡ αἴσθησις τῆς ἀκοῆς.

Ὑπὸ δὲ τῆς κεφαλῆς ὁ τράχηλός ἐστι καὶ οἱ δύο ὦμοι, οἵ εἰσιν αἱ κεφαλαὶ τῶν βραχιόνων. Ἕκαστος δὲ βραχίων ἔχει χεῖρα, καὶ ἑκάστη χεὶρ ἔχει πέντε δακτύλους· ὁ μὲν μέγας, ὁ δὲ λιχανός, ὅς ἐστιν ὁ πρῶτος τῶν ἄλλων τεττάρων, ὁ δὲ μέσος, ὁ δὲ παράμεσος, ὁ δὲ μικρός. Δεῦρο δὲ ἡ ἀφή ἐστιν.

ΚΕΦΑΛΑΙΟΝ Η'

ΑΙ ΑΧΑΡΝΑΙ ΚΑΙ ΑΙ ΑΘΗΝΑΙ (α')

Ἀλέξ.· Ὦ Ἑλένη, ἆρα γιγνώσκεις ποῦ οἰκοῦμεν;

Ἑλ.· Ποῦ δὴ οἰκοῦμεν, ἀδελφέ μου;

Ἀλέξ.· Οἰκοῦμεν γὰρ ἐν τῷ δήμῳ τῶν Ἀχαρνῶν.

Ἑλ.· Καὶ τίνα ἐστι ἐκεῖνα, ἃ ὁρῶμεν ἀπὸ τοῦ δήμου ἡμῶν;

Ἀλέξ.· Ταῦτ' ἐστὶ Ἀθῆναι καὶ ἄπεισιν ἑξήκοντα στάδια.

Ἑλ.· Καὶ τί ἐστι τοῦτο, ὃ ἐν μέσῳ τῇ πόλει;

Ἀλέξ.· Ἡ ἀκρόπολίς ἐστιν, ὦ Ἑλένη. Καὶ ἐν τῇ ἀκροπόλει πολλοὶ ναοί εἰσιν. Πρῶτον μὲν τὰ Προπύλαιά ἐστιν, ἐν δὲ δεξιᾷ τούτων ὁ τῆς Νικῆς Ἀπτέρου ναός ἐστιν.

Ἑλ.· Ποῖός ἐστιν ὁ μέγιστος καὶ κάλλιστος ναός;

Ἀλέξ.· Ἐκεῖνος ὁ ναός ἐστιν ὁ Παρθενών, ἐν ᾧ εὐχόμεθα τῇ Ἀθήνῃ. Καὶ ἐξ ἀριστερᾶς τὸ Ἐρέχθειόν ἐστιν.

Ἑλ.· Πότε ἐρχόμεθα εἰς τὰς Ἀθήνας;

Ἀλέξ.· Ἐρχόμεθα δὴ ἐν τοῖς Παναθηναίοις.

Ἑλ.· Καὶ τί ποιοῦμεν ἐν τοῖς Παναθηναίοις;

Ἀλέξ.· Πρῶτον μὲν σφάζομεν ἱερὰ· μετὰ δὲ ταῦτα χορεύομεν καὶ ᾄδομεν, ἐσθίομεν καὶ πίνομεν. Τί δ' οὐ ποιοῦμεν ἐν ταύταις ταῖς ἑορταῖς;

ΤΑ ΠΑΝΑΘΗΝΑΙΑ (β')

Ἀνὰ τέτταρα ἔτη γίγνεται τὰ Μεγάλα Παναθήναια, ἐν οἷς ἀγὼν μουσικῆς ἐστιν καὶ γυμνικὸς ἀγών παίδων τε καὶ ἀγενείων καὶ ἀνδρῶν· ἀγωνίζονται δ' οἱ μὲν παῖδες οὐ πλέον ἢ ἑκκαίδεκα ἐτῶν, οἱ δ' ἀγένειοι μεχρὶ τῶν εἴκοσιν, οἱ δ' ἄνδρες πλέον τῶν εἴκοσιν.

Τούτοις δ' οἱ ἀγῶνες εἰσὶ στάδιον, πένταθλον, πάλη, πυγμή, παγκράτιον, δίαυλος, ἵππιος τε καὶ ὁπλίτης. Τὸ δὲ πένταθλον πέντε ἀγῶνας περιέχει· ἅλμα, δρόμον, δίσκον, ἄκοντα καὶ πάλην. Ἔστι δὲ καὶ ἱππικὸς ἀγών.

Μετὰ δὲ τῶν ἀγώνων οἱ πυρριχισταὶ πυρρίχην χορεύουσιν ἐν ὅπλοις,

παίοντες τὰς ἀσπίδας τοῖς ξίφεσιν· λαμπαδηδρομία δὲ καί ἐστιν, ἐν ᾗ νικᾷ ὁ στίχος ὃς ἀφικνεῖται πρῶτος πρὸς τὸ τέρμα ἔχων λαμπάδα φλέγουσαν. Μετὰ δὲ τὴν λαμπαδηδρομίαν παννυχίς ἐστιν, καὶ χοροὶ καὶ ᾠδαί.

Τῇ δὲ ὑστεραίᾳ ἡμέρᾳ ἐστὶν πομπὴ, ἐν ᾗ προσφέρουσι τῇ Ἀθήνῃ τὸν πέπλον, ὃς ἄγεται κατὰ τὰς ὁδοὺς τῶν Ἀθηνῶν ἐπὶ τὴν Ἀκρόπολιν. Μετὰ δὲ ταῦτα ἐστὶν ἑστίασις τῶν Ἀθηναίων, καὶ ναυτικὸς ἀγὼν ἐν τῷ Πειραιεῖ.

ΚΕΦΑΛΑΙΟΝ Θʹ

ΟΙ ΕΡΓΑΤΑΙ (αʹ)

Τί ποιοῦσιν οἱ ἐργάται;

Ὁ ἀρότης ἀροῖ τὴν γὴν τῷ ἀρότρῳ· πρῶτον μὲν καταβάλλει τὸ κάτω τοῦ ἀρότρου εἰς τὴν γήν· ἔπειτα δὲ ὁ ἀρότης ἐλαύνει τοὺς βοῦς ἕλκοντας τὸ ἄροτρον. Μετὰ δε ταῦτα ἄλλος σπείρει τὰ σπέρματα· ἔπειτα δὲ ὁ θεριστὴς θερίζει τῷ δρεπάνῳ τὸν σῖτον, ἐπεὶ ἐν ἀκμῇ ἐστιν. Μετὰ δὲ ταῦτα δέουσιν ἐν δεσμοῖς τοὺς καλάμους τοῦ σίτου.

Ἄλλοι μὲν τὴν μακέλην ἔχοντες ὀρύττουσι καὶ φυτεύουσι δένδρα καὶ ἄλλα φυτά. Ἄλλοι δὲ τῇ ἀξίνῃ κατατέμνουσι δένδρα καὶ συλλέγουσι φρύγανα.

ΤΑ ΜΕΤΕΩΡΑ (βʹ)

Ζήνων· Ἰδοὺ, ὦ Φιλόδημε, ὡς ὁμοίοι ὁ Ἀλέξανδρος καὶ ὁ Στέφανός εἰσιν. Ἆρ' οὐκ ἐστι σῦκον ὁμοιότερον σύκῳ;

Φιλόδ.· Οὐδαμῶς, ὦ Ζήνων. Οὗτος οὔκ ἐστιν οὕτως ὅμοιος ἐκείνῳ οὔτε ἐκεῖνος τούτῳ. Ὁ γὰρ Ἀλέξανδρός ἐστιν ὡς Δημόκριτος καὶ ὁ Στέφανος ὡς Ἡράκλειτος.

(*βροντή*)

Ἑλένη· Αἰ αἰ. Οἴμοι.

Χαρά· Θάρρει, ὦ Ἑλένη.

Ἑλένη· Αἰ, ὦ Χαρὰ, ἦν μία ἀστραπὴ ἐν τῷ οὐρανῷ καὶ ἔβροντα φοβερῶς.

Χαρά· Θάρρει, ὦ Ἑλένη, μὴ φόβει. Ἡ ἀστραπὴ οὐ βλάπτει. Ἰδοὺ, οἱ χοίροι μᾶλλον ἐν φόβῳ εἰσίν.

Ἑλένη· Μάλιστα, κοΐζουσι δεινῶς.

ΚΕΦΑΛΑΙΟΝ Ι΄

Ο ΨΙΤΤΑΚΟΣ (α΄)

ψιττ.· Χαίρετε.

ξένος· Οὐδεὶς φόβος, ὦ φίλοι· ὁ ψιττακὸς ἐθέλει ὑμᾶς χαίρειν.

Φίλ.· Τί ἐστι τοῦτο, ὦ ξένε; Οὐκ εἴδομεν οὐδέποτε ὀρνίθιον λαλοῦντα φωνῇ ἀνθρωπίνῃ.

ξέν.· Φίλος ὢν τοῖς θεοῖς, ποιοῦσιν αὐτὸν λαλεῖν.

Φίλ.· Τί δ' ἄλλο λέγει;

ξέν.· Λέγει γὰρ πολλά· πεινῶν μὲν κελεύει σιτία φέρειν, διψῶν δὲ κελεύει ποτὸν φέρειν.

Φίλ.· Ἆρα πωλεῖς μοι, ὦ ξένε, τοῦτο τὸ ὀρνίθιον;

ξέν.· Ναὶ μὰ Δία, δέκα δραχμῶν.

Χάριν σοι ἔχω, ὦ φίλε. Ἔρρωσθε.

Φίλ.· Χάριν καί σοι. Ἔρρωσο.

ψιττ.· Φεῦ τοῦ καταράτου ἀνθρώπου, ποῖ φεύγεις; Πεινῶ, πεινῶ, διψῶ, διψῶ. Φέρε μοι κάρυον, φέρε μοι οἶνον.

Ο ΠΙΘΗΚΟΣ (β΄)

Ἀλέξ.· Ὦ φίλτατη ἀδελφή, πρῷ ὁ παιδαγωγὸς ἐμὲ ἦγε παρὰ τὸν διδάσκαλον καὶ ἐν τῇ ἀγορᾷ εἴδομεν θαυμασιώτατον ζῷον.

Ἑλένη· Καὶ τί δὴ ζῷον εἴδετε, ὦ Ἀλέξανδρε;

Ἀλέξ.· Ξένος τις Αἰγύπτιος φέρων τὸ ζῷον εἶπε τοῦτο εἶναι πίθηκον.

Ἑλ.· Ἆρα ὁ πίθηκός ἐστι ὀρνίθιον;

Ἀλέξ.· Οὐδαμῶς, ὦ Ἑλένη.

Ἑλ.· Πῶς δὲ ἦν ὁ πίθηκος, ὦ ἀδελφέ;

Ἀλέξ.· Τοῦτο γὰρ ἦν ὅμοιον ἀνθρώπῳ, ἀλλὰ μικρότερον παιδίου, εἶχε δὲ καὶ κόμας κατὰ τὸ πρόσωπον ὅλον.

Ἑλ.· Μὰ τὸν Δία, τί δ' ἐποίησεν ὁ πίθηκος;

Ἀλέξ.· Ἄκουε γὰρ τούτων ἃ οὗτος ἐποίησεν· ὁ πίθηκος ἵστησι ἐγγύς μου καὶ ἐγὼ δίδωμι αὐτῷ κάρυον· οὗτος δὲ τίθησι τὸ κάρυον μεταξὺ τῶν ὀδόντων καὶ πιέζει τοῦτο τοῖς ὀδοῦσι· ἔφαγε δὲ τὸν κόκκον ὡς ἄνθρωπος.

Ἑλ.· Τί δ' ἄλλο;

Ἀλέξ.· Τίθημι δὲ καὶ παρ' αὐτῷ ποτήριον οἴνου καὶ ὁ πίθηκος εὐθὺς λαβὼν τὸ ποτήριον πίνει τὸν οἶνον καὶ καταβάλλει τὸ ποτήριον χαμαί. Ὁ δὲ ξένος εἶπε τὸ ζῷον ποιεῖν ἀκριβῶς ὅ τι ὁρᾷ.

Ἑλ.· Πολὺ μὴν θαυμάσιόν ἐστι τοῦτο τὸ ζῷον.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

Ο ΠΟΛΕΜΟΣ (α')

Πολλάκις ἄγγελός τις ἡμῖν ἀγγέλλει ὅτι πόλεμός ἐστι ταῖς Ἀθήναις. Ἔχομεν γὰρ πολλοὺς πολεμίους πανταχοῦ· ἐν τοῖς Μεγάροις, ἐν τῇ Αἰγίνῃ, ἐν τῇ Βοιωτίᾳ, πλὴν ἐν ταῖς Πλαταιαῖς, διότι εἰσὶ φίλοι καὶ σύμμαχοι πάλαι τοῖς Ἀθηναίοις.

Νεωστὶ ἐλθὼν εἰς τὰς Ἀχαρνὰς ἄγγελός τις ἀγγέλλει ὅτι οἱ Βοιωτοὶ εἰσβάλλουσιν εἰς τὴν Ἀττικὴν μετὰ πεντακοσίων ὁπλιτῶν. Ἡμεῖς οὖν παρεσκευάσαμεν καὶ ὁπλίτας σχεδὸν δισχιλίους.

Μετὰ δὲ τρεῖς ἡμέρας κατῆλθον εἰς τὴν κώμην οἱ ὁπλῖται ἡμῶν· οἱ μὲν πολλὰ τραύματα εἶχον, οἱ δὲ ὀλίγοι ἀπέθανον ἐν τῇ μάχῃ, ἀλλ' ἐνίκησαν τοὺς Βοιωτούς.

ΤΑ ΤΕΙΧΗ (β')

Φίλ.· Ἆρα γιγνώσκεις, ὦ Ἀλέξανδρε, τί ἐστι τοῦτο;

Ἀλέξ.· Τοῦτ' ἐστὶ ἡ ἀκρόπολις καὶ τὰ τείχη αὐτῆς.

Φίλ.· Καὶ γιγνώσκεις τί ἐποίησε δεῦρο ὁ Ξέρξης ὁ βασιλεύς;

Ἀλέξ.· Τί δὴ ἐποίησε, ὦ πάτερ;

Φίλ.· Ὁ γὰρ Ξέρξης ἦλθε μετὰ τῶν Μήδων, κατέκαυσε τὰς Ἀθήνας καὶ τὴν ἀκρόπολιν.

Ἀλέξ.· Μετὰ δὲ ταῦτα τί ἐποίησαν οἱ Ἀθηναῖοι;

Φίλ.· Ὁ Θεμιστοκλῆς συνεβούλευσε τοῖς Ἀθηναίοις οἰκοδομεῖν ὡς τάχιστα τείχη, τὰ τῶν Ἀθηνῶν καὶ τὰ τῆς ἀκροπόλεως. Οἱ μέντοι Λακεδαιμόνιοι μὴ οἰκοδομεῖν ταῦτα ἐκέλευσαν.

Ἀλέξ.· Καὶ τί ἐγένετο; Εἰπέ μοι, ὦ πάτερ, ᾠκοδόμησαν οἱ Ἀθηναῖοι τὰ τείχη;

Φίλ.· Μάλιστα, ὦ παῖ, οὗτοι τὰ τείχη ᾠκοδόμησαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ′

Η ΘΑΛΑΤΤΑ (α′)

Ἀλέξ.· Χαῖρε, ὦ τᾶν. Διὰ τί βλέπεις οὕτω τὴν θάλατταν; Ἆρ' οὐ γαλήνη;

ἄνθ.· Μάλιστα, γαλήνη δή ἐστιν, ὅτι ἡ θάλαττα σύκων ἐπιθυμεῖ.

Ἀλέξ.· Διὰ τί λέγεις τὴν θάλατταν ἐπιθυμεῖν σύκων;

ἄνθ.· Λέξω σοι, ἐὰν ἐθέλῃς ἀκούειν.

Ἀλέξ.· Πάνυ γε, ἐθέλω.

ἄνθ.· Ἐγὼ γὰρ ἦν βούκολος καὶ εἶχον βοῦς, ἀλλὰ οὐκ ἤρεσκέ μοι τὸ βουκολεῖν· ἤθελον μέντοι πλουτεῖν ταχέως. Ἐπώλησα οὖν πάντας τοὺς βοῦς καὶ ἠγόρασα σῦκα.

Ἀλέξ.· Καὶ τί ἐποίησας ἔπειτα;

ἄνθ.· Ἐπιβαίνω ἐπὶ πλοῖον ἔχων σῦκα καὶ πλέω ἐπὶ Βυζαντίου. Ἦν δὴ ἔμπορος. Ἄνεμος μέντοι μέγας ἔπνει, κατέδυσε τὸ πλοῖον καὶ ἐναυάγησα.

Ἀλέξ.· Καὶ τί τὰ σῦκα;

ἄνθ.· Τὰ σῦκα πανταχοῦ ἦν. Λαβούσης δὲ τῆς θαλάττης τὰ σῦκα, πάλιν ἦν γαλήνη.

Ἀλέξ.· Διὰ τοῦτο δοκεῖ σοι ἡ θαλάττα σύκων ἐπιθυμεῖν;

ἄνθ.· Μάλιστα.

Η ΣΑΛΑΜΙΣ (β′)

γέρ.· Φεῦ, ἐγὼ εἶδον τὰ γενόμενα ἐν ταύτῃ τῇ θαλάττῃ.

Φίλ.· Τί λέγεις, ὦ γέρον; Ἄσμενοι ἐθέλομεν ἀκούειν.

γέρ.· Ἐνταῦθα γὰρ ἐγένετο μάχη μεγίστη, ἐν ᾗ βασιλεύς τις ἐνικήθη. Ἐγὼ δὴ ἐναυμάχουν.

Φίλ.· Καὶ τίς ἦν οὗτος ὁ βασιλεύς;

γέρ.· Ἦν, ὦ Φίλιππε, ὁ μέγιστος βασιλεὺς τῶν Μήδων, ὁ Ξέρξης. Οὗτος ἔπεμψεν ἀγγέλους δεῦρο γῆν καὶ ὕδωρ αἰτήσοντας. Οἱ μέντοι Ἕλληνες οὔκ εἰσι δοῦλοι τῶν Μήδων, οὐδ' ἔσονται οὐδέποτε.

Ἀλέξ.· Καὶ τί ἐποίησε, ὦ γέρον;

γέρ. · Στρατὸν συνελέξατο ὡς καταστρεφόμενος τὴν Ἑλλάδα. Νικησάντων δὲ τῶν Περσῶν ἐν Θερμοπύλαις, οἱ Ἀθηναῖοι πάντες φοβούμενοι ἔφυγον εἰς Σαλαμῖνα.

Φιλ. · Ἀληθῶς λέγεις. Ἐνταῦθα κατέκαυσαν τὰς Ἀθήνας καὶ τὴν ἀκρόπολιν.

γέρ. · Πρῶτον μὲν οἱ στρατηγοὶ οὐκ ἐπείθοντο ὡς οἱ Πέρσαι τοὺς Ἀθηναίους κυκλοῖεν· ἔπειτα δὲ ἐπύθοντο ταῦτα καὶ παρεσκευάσαντο πρὸς ναυμαχίαν. Πολλαὶ δὲ τῶν Μήδων νῆες διεφθείροντο, αἱ μὲν ὑπὸ τῶν Ἀθηναίων, αἱ δὲ ὑπὸ τῶν Αἰγινητῶν.

ΦΩΝΑΙ

κεφάλαια	César Martínez
Ἀλέξανδρος	Mª Nuria Miguel
Ἑλένη	Lluïsa Merino
Πάτροκλος	Mariví Mayoral
παιδαγωγός	Mario Díaz
διδάσκαλος	Miguel Ángel Ávila
Ἡφαιστίων	Mariví Mayoral
Χαρά	Mercedes Ovejas
Ἡρόδικος	Víctor Caño
Ζήνων	Mario Díaz
Φιλόδημος	Víctor Caño
ψιττακός	Ana Mª Ovando
ξένος	Francisco Castillo
Φίλιππος	César Martínez
ἄνθρωπος	Francisco Castillo
γέρων	Miguel Ángel Ávila

ΓΡΑΜΜΑΤΙΚΗ

§ I. Περὶ λέξεως·

Λέξις μέν ἐστι μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου, οὗ δὲ μέρη ἐστὶν ὀκτώ· ἄρθρον, ὄνομα, ἀντωνυμία, ῥῆμα, μετοχή, πρόθεσις, ἐπίρρημα, σύνδεσμος.

Τὸ δ' ἄρθρον, τὸ ὄνομα, ἡ ἀντωνυμία καὶ ἡ μετοχὴ, ἣ μετέχει τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος, ἔχουσι τρία· γένη, ἀριθμοὺς καὶ πτώσεις.

Τὸ δὲ ῥῆμα ἔχει τάδε· πρόσωπα, ἀριθμοὺς, χρόνους, ἐγκλίσεις, διαθέσεις.

§ I. 1. Τὰ γένη εἰσὶ τρία·

• Τὸ ἀρσενικόν·	ὁ ἀδελφός
• Τὸ θηλυκόν·	ἡ ἀδελφή
• Τὸ οὐδέτερον·	τὸ παιδίον

§ I. 2. Οἱ ἀριθμοί εἰσι ἑνικὸς, δυϊκὸς καὶ πληθυντικὸς, ἀλλὰ μόνον μανθάνομεν τούσδε·

• Ὁ ἑνικός·	ὁ ἀδελφός	ἡ ἀδελφή	τὸ παιδίον
• Ὁ πληθυντικός·	οἱ ἀδελφοί	αἱ ἀδελφαί	τὰ παιδία

§ I. 3. Αἱ πτώσεις ὀνομάτων εἰσὶ πέντε·

• Ἡ ὀνομαστική·	Ὁ Στέφανός ἐστιν ἀδελφὸς τοῦ Ἀλεξάνδρου.
• Ἡ κλητική·	ὦ φίλε
• Ἡ αἰτιατική·	Ἔχω ἀδελφὸν καὶ ἀδελφήν. Ἀναβαίνω ἐπὶ τὸ δένδρον.
• Ἡ γενική·	Εἰμὶ τέκνον τοῦ Φιλίππου. Τὰ σιτία ἐστὶν ἐπὶ τῆς τραπέζης.
• Ἡ δοτική·	Φέρω τὰ ᾠὰ τῇ Εὐρυδίκῃ. Οἰκῶ ἐν τῷ χωρίῳ.

§ Ι. 4. **Τὰ πρόσωπά ἐστι τρία·** πρῶτον, δεύτερον καὶ τρίτον.

- Τὸ μὲν πρῶτον πρόσωπον ἀφ' οὗ ὁ λόγος· ἔχω,
- τὸ δὲ δεύτερον πρὸς ὃν ὁ λόγος· ἔχεις,
- τὸ δὲ τρίτον περὶ οὗ ὁ λόγος· ἔχει.

§ Ι. 5. **Οἱ χρόνοι εἰσὶν τρεῖς·** ἐνεστώς, παρεληλυθώς καὶ μέλλων. Τούτων ὁ παραληλυθὼς ἔχει διαφορὰς τέτταρας· παρατατικόν, ἀόριστον, παρακείμενον καὶ ὑπερσυντέλικος.

§ Ι. 6. **Αἱ ἐγκλίσεις πέντε·**

- Ὁριστική· Ὁ Φίλιππος γεωργός ἐστιν.
- Ὑποτακτική· Ὅταν ᾖ γαλήνη, γελᾷ ἡ θάλαττα.
- Εὐτική· Οἱ στρατηγοὶ οὐκ ἐπείθοντο, ὡς οἱ Πέρσαι αὐτοὺς κυκλοῖεν.
- Προστακτική· Ἔσθιε καὶ πῖνε.
- Ἀπαρέμφατος· Ἐγὼ μανθάνω γράφειν.

§ Ι. 7. **Αἱ διαθέσεις εἰσὶ τρεῖς·** ἐνέργεια, πάθος καὶ μεσότης.

- Ἐνέργεια μὲν οἷον «ἡ τροφὸς τὸ παιδίον λούει»,
- Πάθος δὲ οἷον «τὸ παιδίον ὑπὸ τῆς τροφοῦ λούεται»,
- Μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργεια, ποτὲ δὲ πάθος παροῦσα, οἷον «ἡ τροφός λούεται, βούλεται, γίγνεται, ἔρχεται... ».

§ Ι. 8. **Αἱ συζυγίαι εἰσὶ τρεῖς·**

- Ἡ μὲν συζυγία Α΄ ἐστὶ ἡ βαρυτόνων ῥημάτων, οἷον «γράφω»,
- ἡ δὲ συζυγία Β΄ ἐστὶ ἡ περισπωμένων ῥημάτων, ἣ περιέχει τρεῖς·
  - ἡ μὲν πρώτη (B_1) διακρίνεται ἐπὶ τοῦ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς *αι* διφθόγγου, οἷον ἐρωτῶ, ἐρωτᾷς, ἐρωτᾷ,
  - ἡ δὲ δευτέρα (B_2) διὰ τῆς *ει* διφθόγγου, οἷον οἰκῶ, οἰκεῖς, οἰκεῖ,
  - ἡ δὲ τρίτη (B_3) διὰ τῆς *οι* διφθόγγου, οἷον ἀρῶ, ἀροῖς, ἀροῖ,
- ἡ δὲ συζυγία Γ΄ ἐστὶ ἡ τῶν εἰς *μι* ῥημάτων· ἵστημι, τίθημι, δίδωμι...

§ ΙΙ. **Περὶ ἄρθρου καὶ ὑποτακτικοῦ ἄρθρου**· τὸ μὲν ἄρθρον ἐστὶ μέρος λόγου καὶ προτάττεται τοῦ ὀνόματος. Εἰσὶ δ' αὐτῷ τρία· γένη, ἀριθμοί, πτώσεις. Τῇ κλητικῇ ἐστι ὦ. Τὸ ὑποτακτικὸν ἄρθρον ὅσπερ, ἥπερ, ὅπερ ποιεῖ ὡς ὅς, ἥ, ὅ.

		Τὸ ἄρθρον			Τὸ ὑποτακτικὸν ἄρθρον		
		ἀρσ.	θηλ.	οὐδ.	ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομαστική	ὁ	ἡ	τό	ὅς	ἥ	ὅ
	αἰτιατική	τόν	τήν	τό	ὅν	ἥν	ὅ
	γενική	τοῦ	τῆς	τοῦ	οὗ	ἧς	οὗ
	δοτική	τῷ	τῇ	τῷ	ᾧ	ᾗ	ᾧ
πληθυντικὸς ἀριθμός	ὀνομαστική	οἱ	αἱ	τά	οἵ	αἵ	ἅ
	αἰτιατική	τούς	τάς	τά	οὕς	ἅς	ἅ
	γενική	τῶν	τῶν	τῶν	ὧν	ὧν	ὧν
	δοτική	τοῖς	ταῖς	τοῖς	οἷς	αἷς	οἷς

- Φυτεύομεν δένδρα ἐν τῷ κήπῳ. Ὁ κῆπος ἐγγὺς τῆς οἰκίας ἐστίν. =
  Φυτεύομεν δένδρα ἐν τῷ κήπῳ, ὃς ἐγγὺς τῆς οἰκίας ἐστίν.

- Οἰκοῦμεν ἐν τῇ οἰκίᾳ. Ἡ οἰκία ἐν μέσῳ τῷ χωρίῳ ἐστίν. =
  Οἰκοῦμεν ἐν τῇ οἰκίᾳ, ἣ ἐν μέσῳ τῷ χωρίῳ ἐστίν.

- Λόφοι περιέχουσι τὸ χωρίον. Τὸ χωρίον μικρόν ἐστιν. =
  Λόφοι περιέχουσι τὸ χωρίον, ὃ μικρόν ἐστιν.

- Ἐν μέσῳ τῶν λόφων ἐστὶ τὸ χωρίον. Ἐν τῷ χωρίῳ ὁ Φίλιππος γεωργεῖ. =
  Ἐν μέσῳ τῶν λόφων ἐστὶ τὸ χωρίον, ἐν ᾧ ὁ Φίλιππος γεωργεῖ.

§ III. Περὶ ὀνομάτων· Τὰ ὀνόματα εἰς τρεῖς κλίσεις διαιρεῖται.

§ III. 1. Πρώτη κλίσις· ἐν τῇ πρώτῃ κλίσει πλεῖστα ὀνόματα θηλυκά ἐστιν, ἀλλ' ἐστὶ καὶ ἀρσενικὰ, οἷον ἀγοραστής, πωλητής, νεανίας...

Τὸ θηλυκὸν ὄνομα·

		~~ρ, ι, ε~~ η		ρ, ι, ε α		ττ*, ψ, ξ, ζ, σ α/η	
ἑνικὸς ἀριθμός	ὀνομαστική	ἡ	ἀδελφή	ἡ	οἰκία	ἡ	τράπεζα
	κλητική	ὦ	ἀδελφή	ὦ	(οἰκία)	ὦ	(τράπεζα)
	αἰτιατική	τὴν	ἀδελφήν	τὴν	οἰκίαν	τὴν	τράπεζαν
	γενική	τῆς	ἀδελφῆς	τῆς	οἰκίας	τῆς	τραπέζης
	δοτική	τῇ	ἀδελφῇ	τῇ	οἰκίᾳ	τῇ	τραπέζῃ
πληθυντικὸς ἀριθμός	ὀνομαστική	αἱ	ἀδελφαί	αἱ	οἰκίαι	αἱ	τράπεζαι
	κλητική	ὦ	ἀδελφαί	ὦ	(οἰκίαι)	ὦ	(τράπεζαι)
	αἰτιατική	τὰς	ἀδελφάς	τὰς	οἰκίας	τὰς	τράπεζας
	γενική	τῶν	ἀδελφῶν	τῶν	οἰκιῶν	τῶν	τραπέζων
	δοτική	ταῖς	ἀδελφαῖς	ταῖς	οἰκίαις	ταῖς	τραπέζαις

❖ σσ/ττ, ψ, ξ, ζ, σ καὶ ι+σύμφωνον, οἷον χλαίνα, -ης, καὶ δὴ καὶ σύμφωνον+σύμφωνον, οἷον ἄκανθα, -ης ἢ μάλθα, -ης.

Τὸ ἀρσενικὸν ὄνομα·

		~~ρ, ι, ε~~ η		ρ, ι, ε α	
ἑνικὸς ἀριθμός	ὀνομ.	ὁ	μαθητής	ὁ	νεανίας
	κλη.	ὦ	μαθητά	ὦ	νεανία
	αἰτ.	τὸν	μαθητήν	τὸν	νεανίαν
	γεν.	τοῦ	μαθητοῦ	τοῦ	νεανίου
	δοτ.	τῷ	μαθητῇ	τῷ	νεανίᾳ
πληθυντικὸς ἀριθμός	ὀνομ.	οἱ	μαθηταί	οἱ	νεανίαι
	κλη.	ὦ	μαθηταί	ὦ	νεανίαι
	αἰτ.	τοὺς	μαθητάς	τοὺς	νεανίας
	γεν.	τῶν	μαθητῶν	τῶν	νεανιῶν
	δοτ.	τοῖς	μαθηταῖς	τοῖς	νεανίαις

§ III. 2. Δευτέρα κλίσις· ἐν τῇ δευτέρᾳ κλίσει πλεῖστα ὀνόματα ἀρσενικὰ καὶ οὐδέτερά ἐστιν, ἀλλ' ἐστὶ καὶ θηλυκὰ, οἷον ἡ τροφός, ἡ ὁδός...

		ἀρσενικόν		θηλυκόν		οὐδέτερον	
ἑνικὸς ἀριθμός	ὀνομ.	ὁ	ἀδελφός	ἡ	τροφός	τὸ	τέκνον
	κλη.	ὦ	ἀδελφέ	ὦ	τροφέ	ὦ	τέκνον
	αἰτ.	τὸν	ἀδελφόν	τὴν	τροφόν	τὸ	τέκνον
	γεν.	τοῦ	ἀδελφοῦ	τῆς	τροφοῦ	τοῦ	τέκνου
	δοτ.	τῷ	ἀδελφῷ	τῇ	τροφῷ	τῷ	τέκνῳ
πληθυντικὸς ἀριθμός	ὀνομ.	οἱ	ἀδελφοί	αἱ	τροφοί	τὰ	τέκνα
	κλη.	ὦ	ἀδελφοί	ὦ	τροφοί	ὦ	τέκνα
	αἰτ.	τοὺς	ἀδελφούς	τὰς	τροφούς	τὰ	τέκνα
	γεν.	τῶν	ἀδελφῶν	τῶν	τροφῶν	τῶν	τέκνων
	δοτ.	τοῖς	ἀδελφοῖς	ταῖς	τροφοῖς	τοῖς	τέκνοις

		οὗς, οὗ		**οὗν, οὗ**	
ἑνικὸς ἀριθμός	ὀνομ.	ὁ	νοῦς	τὸ	κανοῦν
	κλη.	ὦ	νοῦ	ὦ	κανοῦν
	αἰτ.	τὸν	νοῦν	τὸ	κανοῦν
	γεν.	τοῦ	νοῦ	τοῦ	κανοῦ
	δοτ.	τῷ	νῷ	τῷ	κανῷ
πληθυντικὸς ἀριθμός	ὀνομ.	οἱ	νοῖ	τὰ	κανᾶ
	κλη.	ὦ	νοῖ	ὦ	κανᾶ
	αἰτ.	τοὺς	νοῦς	τὰ	κανᾶ
	γεν.	τῶν	νῶν	τῶν	κανῶν
	δοτ.	τοῖς	νοῖς	τοῖς	κανοῖς

§ III. 3. Τρίτη κλίσις· Ἔστι καὶ ἀρσενικά τε καὶ θηλυκὰ καὶ οὐδέτερα ὀνόματα.

α΄. Ἄφωνα εἰς τὸ τέλος τοῦ θέματος· τὰ μὲν ἄφωνά ἐστιν ἐννέα· β, δ, γ, π, τ, κ, φ, θ, χ. Τὰ δὲ διπλᾶ σύμφωνα, ξ καὶ ψ, ἐκ δύο συμφώνων σύγκειται· τὸ μὲν ξ ἐκ τῶν γ, κ, χ καὶ τοῦ σ, τὸ δὲ ψ ἐκ τῶν β, π, φ καὶ τοῦ σ.

ἑνικὸς ἀριθμός	ὀνομ.	ἡ	τέττιξ	ὁ	παῖς	τὸ	σῶμα
	κλη.	ὦ	τέττιξ	ὦ	παῖ	ὦ	σῶμα
	αἰτ.	τὴν	τέττιγα	τὸν	παιδα	τὸ	σῶμα
	γεν.	τῆς	τέττιγος	τοῦ	παιδός	τοῦ	σώματος
	δοτ.	τῇ	τέττιγι	τῷ	παιδί	τῷ	σώματι
πληθυντικὸς ἀριθμός	ὀνομ./κλη.	αἱ	τέττιγες	οἱ	παῖδες	τὰ	σώματα
	αἰτ.	τὰς	τέττιγας	τοὺς	παῖδας	τὰ	σώματα
	γεν.	τῶν	τεττίγων	τῶν	παίδων	τῶν	σωμάτων
	δοτ.	ταῖς	τέττιξι(ν)	τοῖς	παισί(ν)	τοῖς	σώμασι(ν)

β'. Τὰ ντ εἰς τὸ τέλος τοῦ θέματος·

ἑνικὸς ἀριθμός	ὀνομ.	ὁ	γέρ*ων*	ὁ	ὀδ*ούς*
	κλη.	ὦ	γέρον	ὦ	(ὀδούς)
	αἰτ.	τὸν	γέροντα	τὸν	ὀδόντα
	γεν.	τοῦ	γέροντος	τοῦ	ὀδόντος
	δοτ.	τῷ	γέροντι	τῷ	ὀδόντι
πληθυντικὸς ἀριθμός	ὀνομ.	οἱ	γέροντες	οἱ	ὀδόντες
	κλη.	ὦ	γέροντες	ὦ	ὀδόντες
	αἰτ.	τοὺς	γέροντας	τοὺς	ὀδόντας
	γεν.	τῶν	γερόντων	τῶν	ὀδόντων
	δοτ.	τοῖς	γέρ*ουσι*(ν)	τοῖς	ὀδ*οῦσι*(ν)

γ'. Τὸ ν εἰς τὸ τέλος τοῦ θέματος·

ἑνικὸς ἀριθμός	ὀνομ.	ὁ	βραχί*ων*	ἡ	ῥίς
	κλη.	ὦ	(βραχί*ων*)	ὦ	(ῥίς)
	αἰτ.	τὸν	βραχίονα	τὴν	ῥῖνα
	γεν.	τοῦ	βραχίονος	τῆς	ῥινός
	δοτ.	τῷ	βραχίονι	τῇ	ῥινί
πληθυντικὸς ἀριθμός	ὀνομ.	οἱ	βραχίονες	αἱ	ῥῖνες
	κλη.	ὦ	(βραχίονες)	ὦ	(ῥῖνες)
	αἰτ.	τοὺς	βραχίονας	τὰς	ῥῖνας
	γεν.	τῶν	βραχιόνων	τῶν	ῥινῶν
	δοτ.	τοῖς	βραχίοσι(ν)	ταῖς	ῥισί(ν)

δʹ. Τὸ ὑγρὸν σύμφωνον ρ εἰς τὸ τέλος τοῦ θέματος·

ἑνικὸς ἀριθμός	ὀνομ.	ἡ	χείρ	ὁ	πατήρ	ὁ	ἀνήρ
	κλη.	ὦ	(χείρ)	ὦ	πάτερ	ὦ	ἄνερ
	αἰτ.	τὴν	χεῖρα	τὸν	πατέρα	τὸν	ἄνδρα
	γεν.	τῆς	χειρός	τοῦ	πατρός	τοῦ	ἀνδρός
	δοτ.	τῇ	χειρί	τῷ	πατρί	τῷ	ἀνδρί
πληθυντικὸς ἀριθμός	ὀνομ.	αἱ	χεῖρες	οἱ	πατέρες	οἱ	ἄνδρες
	κλη.	ὦ	(χεῖρες)	ὦ	πατέρες	ὦ	ἄνδρες
	αἰτ.	τὰς	χεῖρας	τοὺς	πατέρας	τοὺς	ἄνδρας
	γεν.	τῶν	χειρῶν	τῶν	πατέρων	τῶν	ἀνδρῶν
	δοτ.	ταῖς	χερσί(ν)	τοῖς	πατράσι(ν)	τοῖς	ἀνδράσι(ν)

Ὡς πατήρ ποιεῖ καὶ ἡ μήτηρ καὶ πάντα τὰ ὀνόματα, ἃ ἔχει –τηρ εἰς τὸ τέλος.

εʹ. Τὸ σ εἰς τὸ τέλος τοῦ θέματος·

ἑνικὸς ἀριθμός	ὀνομ.	ἡ	τριήρης	τὸ	τεῖχος
	κλη.	ὦ	(τριήρης)	ὦ	(τεῖχος)
	αἰτ.	τὴν	τριήρη	τὸ	τεῖχος
	γεν.	τῆς	τριήρους	τοῦ	τείχους
	δοτ.	τῇ	τριήρει	τῷ	τείχει
πληθυντικὸς ἀριθμός	ὀνομ.	αἱ	τριήρεις	τὰ	τείχη
	κλη.	ὦ	(τριήρεις)	ὦ	(τείχη)
	αἰτ.	τὰς	τριήρεις	τὰ	τείχη
	γεν.	τῶν	τριήρων	τῶν	τειχῶν
	δοτ.	ταῖς	τριήρεσι(ν)	τοῖς	τείχεσι(ν)

στ΄. Τὰ φωνήεντα ι καὶ υ εἰς τὸ τέλος τοῦ θέματος·

ἑνικὸς ἀριθμός	ὀνομ.	ἡ πόλις		ὁ πρέσβυς		τὸ ἄστυ	
	κλη.	ὦ	πόλι	ὦ	πρέσβυ	ὦ	ἄστυ
	αἰτ.	τὴν	πόλιν	τὸν	πρέσβυν	τὸ	ἄστυ
	γεν.	τῆς	πόλεως	τοῦ	πρέσβεως	τοῦ	ἄστεως
	δοτ.	τῇ	πόλει	τῷ	πρέσβει	τῷ	ἄστει
πληθυντικὸς ἀριθμός	ὀνομ.	αἱ	πόλεις	οἱ	πρέσβεις	τὰ	ἄστη
	κλη.	ὦ	πόλεις	ὦ	πρέσβεις	ὦ	ἄστη
	αἰτ.	τὰς	πόλεις	τοὺς	πρέσβεις	τὰ	ἄστη
	γεν.	τῶν	πόλεων	τῶν	πρέσβεων	τῶν	ἄστεων
	δοτ.	ταῖς	πόλεσί(ν)	τοῖς	πρέσβεσι(ν)	τοῖς	ἄστεσι(ν)

ζ΄. Οἱ δίφθογγοι ευ καὶ ου εἰς τὸ τέλος τοῦ θέματος·

ἑνικὸς ἀριθμός	ὀνομ.	ὁ	βασιλεύς	ὁ	βοῦς
	κλη.	ὦ	βασιλεῦ	ὦ	βοῦ
	αἰτ.	τὸν	βασιλέα	τὸν	βοῦν
	γεν.	τοῦ	βασιλέως	τοῦ	βοός
	δοτ.	τῷ	βασιλεῖ	τῷ	βοΐ
πληθυντικὸς ἀριθμός	ὀνομ.	οἱ	βασιλεῖς	οἱ	βόες
	κλη.	ὦ	βασιλεῖς	ὦ	βόες
	αἰτ.	τοὺς	βασιλέας	τοὺς	βοῦς
	γεν.	τῶν	βασιλέων	τῶν	βοῶν
	δοτ.	τοῖς	βασιλεῦσι(ν)	τοῖς	βουσί(ν)

❖ Τῇ πληθυντικῇ ὀνομαστικῇ καὶ κλητικῇ τοῦ «βασιλεύς» ἐστὶ βασιλεῖς τε καὶ βασιλῆς.

η'. Ἀνώμαλα ὀνόματα·

ἑνικὸς ἀριθμός	ὀνομ.	ἡ	γυνή	ἡ	ναῦς	ὁ	πούς
	κλη.	ὦ	γύναι	ὦ	ναῦ	ὦ	(πούς)
	αἰτ.	τὴν	γυναῖκα	τὴν	ναῦν	τὸν	πόδα
	γεν.	τῆς	γυναικός	τῆς	νεώς	τοῦ	ποδός
	δοτ.	τῇ	γυναικί	τῇ	νηί	τῷ	ποδί
πληθυντικὸς ἀριθμός	ὀνομ.	αἱ	γυναῖκες	αἱ	νῆες	οἱ	πόδες
	κλη.	ὦ	γυναῖκες	ὦ	νῆες	ὦ	(πόδες)
	αἰτ.	τὰς	γυναῖκας	τὰς	ναῦς	τοὺς	πόδας
	γεν.	τῶν	γυναικῶν	τῶν	νεῶν	τῶν	ποδῶν
	δοτ.	ταῖς	γυναιξί(ν)	ταῖς	ναυσί(ν)	τοῖς	ποσί(ν)

ἑνικὸς ἀριθμός	ὀνομ.	τὸ	οὖς	τὸ	γόνυ
	κλη.	ὦ	(οὖς)	ὦ	(γόνυ)
	αἰτ.	τὸ	οὖς	τὸ	γόνυ
	γεν.	τοῦ	ὠτός	τοῦ	γόνατος
	δοτ.	τῷ	ὠτί	τῷ	γόνατι
πληθυντικὸς ἀριθμός	ὀνομ.	τὰ	ὦτα	τὰ	γόνατα
	κλη.	ὦ	(ὦτα)	ὦ	(γόνατα)
	αἰτ.	τὰ	ὦτα	τὰ	γόνατα
	γεν.	τῶν	ὤτων	τῶν	γονάτων
	δοτ.	τοῖς	ὠσί(ν)	τοῖς	γονάσι(ν)

❖ Ποιεῖ τὸ ὕδωρ οἷον τὸ γόνυ· τὸ ὕδωρ, τοῦ ὕδατος, τῷ ὕδατι, τὰ ὕδατα, τῶν ὑδάτων, τοῖς ὕδασι(ν).

§ IV. **Περὶ ἐπιθέτων·** Τὰ ἐπίθετά ἐστιν ἁπλᾶ (μικρός, ὑψηλός...) ἢ σύνθετα (ἀ-δύνατος, δι-πλοῦς, καρπο-φόρος...)· τὰ μὲν ἁπλᾶ ἐπίθετά ἐστι τρικατάληκτα (ος, η/α, ον), τὰ δὲ σύνθετά ἐστι δικατάληκτα (ος, ον). Αἱ δὲ μετοχαί εἰσι τρικατάληκται ἐν τῇ ἐνεργητικῇ φωνῇ τε καὶ μέσῃ καὶ παθητικῇ.

§ IV. 1. Πρώτη καὶ δεύτερα κλίσεις·

Τὰ τρικατάληκτα ἐπίθετα

		ος, α, ον			ος, η, ον		
		ἀρσ.	θηλ.	οὐδ.	ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	μικρός	μικρά	μικρόν	ὑψηλός	ὑψηλή	ὑψηλόν
	κλη.	μικρέ	μικρά	μικρόν	ὑψηλέ	ὑψηλή	ὑψηλόν
	αἰτ.	μικρόν	μικράν	μικρόν	ὑψηλόν	ὑψηλήν	ὑψηλόν
	γεν.	μικροῦ	μικρᾶς	μικροῦ	ὑψηλοῦ	ὑψηλῆς	ὑψηλοῦ
	δοτ.	μικρῷ	μικρᾷ	μικρῷ	ὑψηλῷ	ὑψηλῇ	ὑψηλῷ
πληθυντικὸς ἀριθμός	ὀνομ.	μικροί	μικραί	μικρά	ὑψηλοί	ὑψηλαί	ὑψηλά
	κλη.	μικροί	μικραί	μικρά	ὑψηλοί	ὑψηλαί	ὑψηλά
	αἰτ.	μικρούς	μικράς	μικρά	ὑψηλούς	ὑψηλάς	ὑψηλά
	γεν.	μικρῶν	μικρῶν	μικρῶν	ὑψηλῶν	ὑψηλῶν	ὑψηλῶν
	δοτ.	μικροῖς	μικραῖς	μικροῖς	ὑψηλοῖς	ὑψηλαῖς	ὑψηλοῖς

οῦς, ᾶ, οῦν

		ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	σιδηροῦς	σιδηρᾶ	σιδηροῦν
	κλη.	σιδηροῦς	σιδηρᾶ	σιδηροῦν
	αἰτ.	σιδηροῦν	σιδηρᾶν	σιδηροῦν
	γεν.	σιδηροῦ	σιδηρᾶς	σιδηροῦ
	δοτ.	σιδηρῷ	σιδηρᾷ	σιδηρῷ
πληθυντικὸς ἀριθμός	ὀνομ.	σιδηροῖ	σιδηραῖ	σιδηρᾶ
	κλη.	σιδηροῖ	σιδηραῖ	σιδηρᾶ
	αἰτ.	σιδηροῦς	σιδηρᾶς	σιδηρᾶ
	γεν.	σιδηρῶν	σιδηρῶν	σιδηρῶν
	δοτ.	σιδηροῖς	σιδηραῖς	σιδηροῖς

Τὰ δικατάληκτα ἐπίθετα

		ος, ον		οῦς, οῦν	
		ἀρσ./θηλ.	οὐδ.	ἀρσ./θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	ἀδύνατος	ἀδύνατον	διπλοῦς	διπλοῦν
	κλη.	ἀδύνατε	ἀδύνατον	διπλοῦς	διπλοῦν
	αἰτ.	ἀδύνατον	ἀδύνατον	διπλοῦν	διπλοῦν
	γεν.	ἀδυνάτου	ἀδυνάτου	διπλοῦ	διπλοῦ
	δοτ.	ἀδυνάτῳ	ἀδυνάτῳ	διπλῷ	διπλῷ
πληθυντικὸς ἀριθμός	ὀνομ.	ἀδύνατοι	ἀδύνατα	διπλοῖ	διπλᾶ
	κλη.	ἀδύνατοι	ἀδύνατα	διπλοῖ	διπλᾶ
	αἰτ.	ἀδυνάτους	ἀδύνατα	διπλοῦς	διπλᾶ
	γεν.	ἀδυνάτων	ἀδυνάτων	διπλῶν	διπλῶν
	δοτ.	ἀδυνάτοις	ἀδυνάτοις	διπλοῖς	διπλοῖς

Ἀνώμαλα ἐπίθετα

		ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	μέγας	μεγάλη	μέγα
	κλη.	μέγας	μεγάλη	μέγα
	αἰτ.	μέγαν	μεγάλην	μέγα
	γεν.	μεγάλου	μεγάλης	μεγάλου
	δοτ.	μεγάλου	μεγάλῃ	μεγάλου
πληθυντικὸς ἀριθμός	ὀνομ.	μεγάλοι	μεγάλαι	μεγάλα
	κλη.	μεγάλοι	μεγάλαι	μεγάλα
	αἰτ.	μεγάλους	μεγάλας	μεγάλα
	γεν.	μεγάλων	μεγάλων	μεγάλων
	δοτ.	μεγάλοις	μεγάλαις	μεγάλοις

		ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	πολύς	πολλή	πολύ
	κλη.	πολύς	πολλή	πολύ
	αἰτ.	πολύν	πολλήν	πολύ
	γεν.	πολλοῦ	πολλῆς	πολλοῦ
	δοτ.	πολλῷ	πολλῇ	πολλῷ
πληθυντικὸς ἀριθμός	ὀνομ.	πολλοί	πολλαί	πολλά
	κλη.	πολλοί	πολλαί	πολλά
	αἰτ.	πολλούς	πολλάς	πολλά
	γεν.	πολλῶν	πολλῶν	πολλῶν
	δοτ.	πολλοῖς	πολλαῖς	πολλοῖς

§ IV. 2. Πρώτη καὶ τρίτη κλίσεις· τὰ μὲν θηλυκὰ ἐπίθετά ἐστι κατὰ τὴν πρώτην κλίσιν, τὰ δ' ἀρσενικὰ καὶ οὐδέτερα κατὰ τὴν τρίτην·

Τὰ τρικατάληκτα ἐπίθετα

		ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	γλυκύς	γλυκεῖα	γλυκύ
	κλη.	γλυκύ	γλυκεῖα	γλυκύ
	αἰτ.	γλυκύν	γλυκεῖαν	γλυκύ
	γεν.	γλυκέος	γλυκείας	γλυκέος
	δοτ.	γλυκεῖ	γλυκείᾳ	γλυκεῖ
πληθυντικὸς ἀριθμός	ὀνομ./κλη.	γλυκεῖς	γλυκεῖαι	γλυκέα
	αἰτ.	γλυκεῖς	γλυκείας	γλυκέα
	γεν.	γλυκέων	γλυκειῶν	γλυκέων
	δοτ.	γλυκέσι(ν)	γλυκείαις	γλυκέσι(ν)

		ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	πᾶς	πᾶσα	πᾶν
	κλη.	πᾶς	πᾶσα	πᾶν
	αἰτ.	πάντα	πᾶσαν	πᾶν
	γεν.	παντός	πάσης	παντός
	δοτ.	παντί	πάσῃ	παντί
πληθυντικὸς ἀριθμός	ὀνομ./κλη.	πάντες	πᾶσαι	πάντα
	αἰτ.	πάντας	πάσας	πάντα
	γεν.	πάντων	πασῶν	πάντων
	δοτ.	πᾶσι(ν)	πάσαις	πᾶσι(ν)

Τὰ δικατάληκτα ἐπίθετα

		ης, ες		ων, ον	
		ἀρσ./θηλ.	οὐδ.	ἀρσ./θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	ἀληθής	ἀληθές	πλείων	πλεῖον
	κλη.	ἀληθές	ἀληθές	πλείων	πλεῖον
	αἰτ.	ἀληθῆ	ἀληθές	πλείονα / πλείω	πλεῖον
	γεν.	ἀληθοῦς	ἀληθοῦς	πλείονος	πλείονος
	δοτ.	ἀληθεῖ	ἀληθεῖ	πλείονι	πλείονι
πληθυντικὸς ἀριθμός	ὀνομ.	ἀληθεῖς	ἀληθῆ	πλείονες	πλείονα / πλείω
	κλη.	ἀληθεῖς	ἀληθῆ	πλείονες	πλείονα / πλείω
	αἰτ.	ἀληθεῖς	ἀληθῆ	πλείονας	πλείονα / πλείω
	γεν.	ἀληθῶν	ἀληθῶν	πλειόνων	πλειόνων
	δοτ.	ἀληθέσι(ν)	ἀληθέσι(ν)	πλείοσι(ν)	πλείοσι(ν)

❖ Τὸ ἐπίθετον πλείων, ον συγκριτικόν ἐστιν· καὶ οὕτως ποιεῖ καὶ τὰ συγκριτικὰ ἐπίθετα, οἷον μείζων, ἀμείνων, κτλ...

§ IV. 3. Οἱ βαθμοὶ τοῦ ἐπιθέτου τρεῖς εἰσιν· τὸ θετικὸν, τὸ συγκριτικὸν καὶ τὸ ὑπερθετικόν.

- Τὸ μὲν θετικὸν ἐπίθετόν ἐστι οἷον «ὁ λόφος ὑψηλός ἐστιν.»
- Τὸ δὲ συγκριτικὸν ἐπίθετον·
  - Οἱ παῖδες ἐλάττον ἢ ἑκκαίδεκα ἐτῶν. (... ἐλάττον ἢ ...)
  - Οἱ λόφοι οἱ ἡμέτεροι οὔκ εἰσιν οὕτως ὑψηλοὶ ὡς οἱ Πυρηναῖοι. (... οὕτως ... ὡς ...)
    Ὁ ὄνος ὅμοιος *ἵππῳ* ἐστίν. (... ὅμοιος + *δοτική*)
  - Οἱ λόφοι οἱ ἡμέτεροί εἰσι μᾶλλον μικροὶ ἢ οἱ Πυρηναῖοι.
    Ὁ ὄνος μικρότερος *τοῦ ἵππου* ἐστίν.
    Ὁ ἵππος μείζων ἢ ὁ ὄνος ἐστίν. (μείζων ἐστὶ τὸ συγκριτικὸν τοῦ μέγας)

μᾶλλον / πλέον + ἐπίθετον		
-τερος, α, ον	+	γενική / ἢ ...
-(ι)ων, -(ι)ον		

- Τὸ δὲ ὑπερθετικὸν ἐπίθετον·
  - Ἔστι λόφος μάλιστα ὑψηλὸς ἐν Ἑλβετίᾳ.
    Ἐν τοῖς Παναθηναίοις πομπή ἐστι λαμπροτάτη.
    Ἔχω κάλλιστον δῶρον. (κάλλιστος ἐστὶ τὸ ὑπερθετικὸν τοῦ καλός)

Ταῦτά ἐστι παραδείγματα τοῦ ἀπολύτου ὑπερθετικοῦ, ἀλλὰ ἔστι καὶ τὸ σχετικὸν ὑπερθετικὸν, ἐπειδὴ τῷ οὐσιαστικῷ ἐστι μείζων βαθμός·

- Ἔστι λόφος μάλιστα ὑψηλὸς ἐν Ἑλβετίᾳ.
- Ὁ Ὄλυμπός ἐστιν ὑψηλότατος *τῶν* ἐν τῇ Ἑλλάδι *λόφων*.

μάλιστα + ἐπίθετον		
-τατος, η, ον	+	(γενική)
-ιστος, η, ον		

• Ἀνώμαλα ἐπίθετα·

φίλος	-	φίλτερος	-	φίλτατος
ἀγαθός	-	ἀμείνων	-	ἄριστος
		βελτίων	-	βέλτιστος
		κρείττων	-	κράτιστος
κακός	-	κακίων	-	κάκιστος
		χείρων	-	χείριστος
μέγας	-	μείζων	-	μέγιστος
μικρός	-	μικρότερος	-	μικρότατος
		ἐλάττων	-	ἐλάχιστος
ὀλίγος	-	μείων/ἥττων	-	ὀλίγιστος
πολύς	-	πλείων	-	πλεῖστος

§ IV. 4. Τὰ ἐπιρρήματα μεσότητος· σχηματίζεται ἀπὸ τῆς τῶν ἐπιθέτων γενικῆς καὶ τελευτᾷ εἰς -ῶς.

ἐπίθετον	γενική	ἐπίρρημα
• καλός	καλοῦ	καλῶς
• ῥᾴδιος	ῥᾳδίου	ῥᾳδίως
• ἀληθής	ἀληθοῦς	ἀληθῶς
• ταχύς	ταχέος	ταχέως

§ V. Περὶ ἀντωνυμιῶν· ἡ ἀντωνυμία ἐστὶ λέξις ἀντὶ ὀνόματος.

§ V. 1. Ἡ ἀντωνυμία μετὰ τῶν ῥημάτων·

α'. Τὸ πρῶτον πρόσωπον· ἑνικός ἐγώ καὶ πληθυντικός ἡμεῖς.

- ἐγώ· Ἐγώ εἰμι Ἑλληνικὸν παιδίον.
  Ὁ παιδαγωγός με ἄγει παρὰ τὸν διδάσκαλον.
  Ὁ ἀδελφός μου ὁ Στέφανός ἐστιν.
  Ἐμοί ἐστι παιδαγωγός.
- ἡμεῖς· Ἡμεῖς οἰκοῦμεν ἐν τῇ τοῦ χωρίου οἰκίᾳ.
  Ὁ διδάσκαλος ἡμᾶς ἐνίοτε παίει.
  Ἐν τῇ οἰκίᾳ καὶ οἰκεῖ ἡ τροφὸς ἡμῶν.
  Καθ' ἡμέραν τὰ ὀρνίθια ᾠὰ ἡμῖν τίκτει.

β'. Τὸ δεύτερον πρόσωπον· ἑνικός σύ καὶ πληθυντικός ὑμεῖς.

- σύ· Σὺ οὐκ εἶ Ἑλληνικὸν παιδίον.
  Οὔ σε γιγνώσκω, ὦ ξένε.
  Οὐκ ἤνεγκές με μετά σου εἰς τὴν πόλιν.
  Λέγω σοι ὅτι ἐν χωρίῳ οἰκοῦμεν.
- ὑμεῖς· Ὑμεῖς γράφετε γραφείῳ ἐν παπύρῳ.
  Ὑμᾶς χαίρειν θέλει ὁ ψιττακός.
  Ἡ οἰκία ὑμῶν πολλὰ δωμάτια ἔχει.
  Ὑμῖν εἰσι πολλοὶ διδάσκαλοι.

γ'. Τὸ τρίτον πρόσωπον· ἑνικός αὐτός, ή, ό καὶ πληθυντικός αὐτοί, αί, ά, καὶ δὴ καὶ ἑνικός οὗτος, αὕτη, τοῦτο καὶ πληθυντικός οὗτοι, αὗται, ταῦτα.

- αὐτός Αὐτὸς ἔχει χωρίον. Αὐτὴ οἰκεῖ μεθ' ἡμῶν.
  Ἐκοίμησεν αὐτὸ ἐν τῇ σκάφῃ.
  Ἐσμὲν τέκνα αὐτοῦ καὶ αὐτῆς.
  Τὸ ὄνομα αὐτῷ Φίλιππός ἐστιν. Τὸ ὄνομα αὐτῇ Εὐρυδίκη ἐστίν.

- αὐτοί Αὐτοὶ συντρέχουσιν.

  Οὐκ αὐτοὺς γιγνώσκω.

  Φοβοῦμενοι μὴ τοὺς αὐτῶν πρέσβεις παθεῖν τι.

  Ὁ ναύαρχος ἔφερε αὐτοῖς μάζας ἐν κανῷ.

ἑνικὸς ἀριθμός	ὀνομ.	ἐγώ	σύ	αὐτός	αὐτή	αὐτό
	κλη.	-	σύ	-	-	-
	αἰτ.	ἐμέ / με	σέ	αὐτόν	αὐτήν	αὐτό
	γεν.	ἐμοῦ / μου	σοῦ	αὐτοῦ	αὐτῆς	αὐτοῦ
	δοτ.	ἐμοί / μοι	σοί	αὐτῷ	αὐτῇ	αὐτῷ
πληθυντικὸς ἀριθμός	ὀνομ.	ἡμεῖς	ὑμεῖς	αὐτοί	αὐταί	αὐτά
	κλη.	-	ὑμεῖς	-	-	-
	αἰτ.	ἡμᾶς	ὑμᾶς	αὐτούς	αὐτάς	αὐτά
	γεν.	ἡμῶν	ὑμῶν	αὐτῶν	αὐτῶν	αὐτῶν
	δοτ.	ἡμῖν	ὑμῖν	αὐτοῖς	αὐταῖς	αὐτοῖς

❖ Χρῶνται μέντοι αἱ δεικτικαὶ ἀντωνυμίαι τῷ τρίτῳ προσώπῳ ἀντὶ τοῦ «αὐτός, ή, ό», οἷον οὗτο, αὕτη, τοῦτο.

§ V. 2. **Ἡ δεικτικὴ ἀντωνυμία**· ὅδε, ἥδε, τόδε καὶ οὗτος, αὕτη, τοῦτο καὶ ἐκεῖνος, ἐκείνη, ἐκεῖνο.

		ἀρσ.	θηλ.	οὐδ.	ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	ὅδε	ἥδε	τόδε	οὗτος	αὕτη	τοῦτο
	κλη.	-	-	-	-	-	-
	αἰτ.	τόνδε	τήνδε	τόδε	τοῦτον	ταύτην	τοῦτο
	γεν.	τοῦδε	τῆσδε	τοῦδε	τούτου	ταύτης	τούτου
	δοτ.	τῷδε	τῇδε	τῷδε	τούτῳ	ταύτῃ	τούτῳ
πληθυντικὸς ἀριθμός	ὀνομ.	οἵδε	αἵδε	τάδε	οὗτοι	αὗται	ταῦτα
	κλη.	-	-	-	-	-	-
	αἰτ.	τούσδε	τάσδε	τάδε	τούτους	πολλάς	ταῦτα
	γεν.	τῶνδε	τῶνδε	τῶνδε	τούτων	τούτων	τούτων
	δοτ.	τοῖσδε	ταῖσδε	τοῖσδε	τούτοις	ταύτοις	τούτοις

		ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	ἐκεῖνος	ἐκείνη	ἐκεῖνο
	κλη.	-	-	-
	αἰτ.	ἐκεῖνον	ἐκείνην	ἐκεῖνο
	γεν.	ἐκείνου	ἐκείνης	ἐκείνου
	δοτ.	ἐκείνῳ	ἐκείνῃ	ἐκείνῳ
πληθυντικὸς ἀριθμός	ὀνομ.	ἐκεῖνοι	ἐκεῖναι	ἐκεῖνα
	κλη.	-	-	-
	αἰτ.	ἐκείνου	ἐκείνας	ἐκεῖνα
	γεν.	ἐκείνων	ἐκείνων	ἐκείνων
	δοτ.	ἐκείνοις	ἐκείναις	ἐκείνοις

§ V. 3 Ἡ σύναρθρος ἀντωνυμία· τῇ συνάρθρῳ ἀντωνυμίᾳ χρῶνται καὶ τὰς τῆς ἀντωνυμίας γενικὰς καὶ τάσδε· ἐμός, σός, ἡμέτερος, ὑμέτερος· αὗται κλίνονται, οἷον καλός, ή, όν. Παραδείγματα·

- Ἡ τροφός μου Χαρά ἐστιν. = Ἡ τροφὸς ἡ ἐμὴ Χαρά ἐστιν.
- Ἐκ δεξιᾶς ἐστι τὸ χωρίον ἡμῶν. = Ἐκ δεξιᾶς ἐστι τὸ ἡμέτερον χωρίον.

ἑνικὸς ἀριθμός	ἐγώ	μου	ἐμός, ή, όν
	σύ	σου	σός, ή, όν
	αὐτός, ή, ό	αὐτοῦ, ῆς	-
πληθυντικὸς ἀριθ.μός	ἡμεῖς	ἡμῶν	ἡμέτερος, α, ον
	ὑμεῖς	ὑμῶν	ὑμέτερος, α, ον
	αὐτοί, αί, ά	αὐτῶν	-

§ V. 4 Ἡ ἀμοιβαῖος ἀντωνυμία·

		ἀρσ.	θηλ.	οὐδ.
πληθυντικὸς ἀριθμός	αἰτ.	ἀλλήλους	ἀλλήλας	ἄλληλα
	γεν.	ἀλλήλων	ἀλλήλων	ἀλλήλων
	δοτ.	ἀλλήλοις	ἀλλήλαις	ἀλλήλοις

Παράδειγμα·

- Μετὰ τὸ δεῖπνον λαλοῦμεν μετ' ἀλλήλων.

§ V. 5 Ἡ ἀόριστος ἀντωνυμία καὶ ἐρωτηματικαὶ ἀντωνυμίαι·

		Ἀόριστος ἀντωνυμία		Ἐρωτηματικὴ ἀντωνυμία	
		ἀρσ./θηλ.	οὐδ.	ἀρσ./θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	τις	τι	τίς	τί
	αἰτ.	τινά	τι	τίνα	τί
	γεν.	τινός	τινός	τίνος	τίνος
	δοτ.	τινί	τινί	τίνι	τίνι
πληθυντικὸς ἀριθμός	ὀνομ.	τινές	τινά	τίνες	τινά
	αἰτ.	τινάς	τινά	τίνας	τινά
	γεν.	τινῶν	τινῶν	τίνων	τίνων
	δοτ.	τισί(ν)	τισί(ν)	τίσι(ν)	τίσι

Ἡ ἀόριστος ἀντωνυμία ἐστὶν ἀεὶ μετὰ τὸ ὄνομα, ᾧ ἕπεται·

Παραδείγματα·

- Πάρεστι ῥαψῳδός τις πρὸς τὴν οἰκίαν.
- Θέλω δῶρόν τι.

Εἰσὶ δὲ καὶ ἄλλαι ἐρωτηματικαὶ ἀντωνυμίαι καὶ ἐρωτηματικὰ ἐπιρρήματα·

- Τίς; Τίς ἐστιν ὁ Φίλιππος;
- Τί; Τί ἐστι *χωρίον*;
- Πόσος, η, ον; Πόσα δωμάτιά ἐστιν ἐν τῇ οἰκίᾳ;
- Ποῖος, α, ον; Ποῖόν ἐστι τὸ ᾠόν;
- Ποῦ; Ποῦ οἰκεῖς;
- Ποῖ; Ποῖ φοιτῶσιν ἐν τοῖς Διονυσίοις;
- Πόθεν; Πόθεν εἶ σύ;
- Πῶς; Πῶς ἔχεις;
- Πότε; Πότε καθεύδουσιν ἔξω;

§ V. 6. Τὸ ὑποτακτικὸν ἄρθρον καὶ αἱ ἄλλαι ἀναφορικαὶ ἀντωνυμίαι·

Τὸ ὑποτακτικὸν ἄρθρον, ὅς, ἥ, ὅ (§ II), τε καὶ αἱ ἄλλαι ἀναφορικαὶ ἀντωνυμίαι, ὅσπερ, ἥπερ, ὅπερ ἢ ὅστις, ἥτις, ὅ τι, ἀναφέρονται εἰς πρότερον ὄνομα. Τὸ μὲν «ὅσπερ» κλίνεται οἷον «ὅς»· τὸ δὲ «ὅστις» οἷον «ὅς» καὶ «τις» ἅμα· ὅστις, ὅντινα, οὗτινος, κτλ.

Παραδείγματα·

- Οὗτοί εἰσιν οἱ λόφοι, οἳ περιέχουσι τὸ χωρίον.
- Τοῦτό ἐστι τὸ χωρίον, ἐν ᾧ γεωργεῖ ὁ Φίλιππος.
- Τὰ ἥμερα δένδρα ταῦτ' ἐστὶν, ἅπερ φυτεύομεν ἐν τῷ κήπῳ.
- Αἱ Ἀθῆναι φανεραί εἰσιν ἀπὸ τῆς κώμης, ἐν ᾗπερ οἰκῶ.

§ VI. Περὶ ἀριθμῶν· ἔστι τὸ ἀριθμητικὸν τε καὶ τὸ τακτικὸν καὶ τὸ πολλαπλάσιον.

- Τὸ μὲν ἀριθμητικόν ἐστι τὸ ἀριθμὸν σημαῖνον· εἷς, δύο, τρεῖς, τέτταρες, πέντε, ἕξ, ἑπτά, ὀκτώ, ἐννέα, δέκα, ἕνδεκα, δώδεκα, τρεῖς καὶ δέκα, τέτταρες καὶ δέκα, πέντε καὶ δέκα, ἕξ καὶ δέκα (ἑκκαίδεκα), ἑπτὰ καὶ δέκα, ὀκτὼ καὶ δέκα, ἐννέα καὶ δέκα, εἴκοσι... , τριάκοντα, τετταράκοντα, πεντήκοντα, ἑξήκοντα, ἑβδομήκοντα, ὀγδοήκοντα, ἐνενήκοντα, ἑκατόν. Μετὰ ταῦτα λέγομεν· διακόσια, τριακόσια, τετρακόσια, πεντακόσια, ἑξακόσια, ἑπτακόσια, ὀκτακόσια, ἐνακόσια, χίλια.

  Τὰ δ' ἀριθμητικὰ εἷς, δύο, τρεῖς, τέτταρες κλίνεται οὑτωσί·

	ἀρσ.	θηλ.	οὐδ.	ἀρσ. / θηλ. / οὐδ.
ὀνομ.	εἷς	μία	ἕν	δύο
αἰτ.	ἕνα	μίαν	ἕν	
γεν.	ἑνός	μιᾶς	ἑνός	δυοῖν
δοτ.	ἑνί	μιᾷ	ἑνί	

	ἀρσ. / θηλ.	οὐδ.	ἀρσ. / θηλ.	οὐδ.
ὀνομ.	τρεῖς	τρία	τέτταρες	τέτταρα
αἰτ.	τρεῖς	τρία	τέτταρας	τέτταρα
γεν.	τριῶν	τριῶν	τεττάρων	τεττάρων
δοτ.	τρισί(ν)	τρισί(ν)	τεττάρσι(ν)	τεττάρσι(ν)

- Τὸ δὲ τακτικόν ἐστι τὸ τάξιν δηλοῦν· πρῶτος, δεύτερος, τρίτος, τέταρτος, πέμπτος, ἕκτος, ἕβδομος, ὄγδοος, ἔνατος, δέκατος, ἕνδέκατος, κτλ. Μετὰ ταῦτα λέγομεν· εἰκοστός, τριακοστός, τετταρακοστός, πεντηκοστός, ἑξηκοστός, ἑβδομηκοστός, ὀγδοηκοστός, ἐνενηκοστός, ἑκατοστός, διακοσιοστός, κτλ.
- Τὸ δὲ πολλαπλάσιόν ἐστι τὸ μέρη μετροῦν· ἅπαξ, δίς, τρίς τετράκις, πεντάκις, ἑξάκις, ἑπτάκις, ὀκτάκις, ἐνάκις, δεκάκις, κτλ.

§ VII. Περὶ ῥήματος· ῥῆμα μέν ἐστι λέξις ἄπτωτος (οὐκ ἔχει πτῶσεις), παρέπεται δὲ τῷ ῥήματι ἕξ· πρόσωπα, ἀριθμοί, χρόνοι, ἐγκλίσεις, διαθέσεις, συζυγίαι.

§ VII. 1. Ὁ ἐνεστὼς χρόνος· πρῶτον μέν εἰσι αἱ συζυγίαι Α′ καὶ Β′, καὶ δὴ καὶ τὸ ῥῆμα «εἰμί»· ἔπειτα δὲ ἡ συζυγία Γ′.

- Ἡ μὲν συζυγία Α′ ἐκφέρεται διὰ τοῦ -ω ἢ -ομαι,
- ἡ δὲ συζυγία Β′ διὰ τοῦ -ῶ ἢ -ῶμαι / -οῦμαι, ἐν δὲ τῇ συζυγίᾳ Β′ εἰσίν·
  - Β$_{1}$′ -άω / -ῶ, -ῶμαι
  - Β$_{2}$′ -έω / -ῶ, -οῦμαι
  - Β$_{3}$′ -όω / -ῶ, -οῦμαι
- ἡ δὲ συζυγία Γ′ διὰ τοῦ -μι.

α′. Τὸ ῥῆμα «εἰμί»·

ἑνικός	ἐγὼ	εἰμί
	σὺ	εἶ
	οὗτος αὕτη τοῦτο ταῦτα	ἐστί(ν)
πληθυντικός	ἡμεῖς	ἐσμέν
	ὑμεῖς	ἐστέ
	οὗτοι αὗται	εἰσί(ν)

β′. Ἐνεργητικὴ διάθεσις· συζυγίαι Α′ καὶ Β′ (B_1 -άω, B_2 -έω, B_3 -όω).

		Α′ -ω	Β′ -ῶ		
			B_1' -άω	B_2' -έω	B_3' -όω
ἑνικὸς	ἐγὼ	λούω	κοιμάω/κοιμῶ	ποιέω/ποιῶ	κυκλόω/κυκλῶ
	σὺ	λούεις	κοιμᾷς	ποιεῖς	κυκλοῖς
	οὗτος	λούει	κοιμᾷ	ποιεῖ	κυκλοῖ
πληθυντικὸς	ἡμεῖς	λούομεν	κοιμῶμεν	ποιοῦμεν	κυκλοῦμεν
	ὑμεῖς	λούετε	κοιμᾶτε	ποιεῖτε	κυκλοῦτε
	οὗτοι	λούουσι(ν)	κοιμῶσι(ν)	ποιοῦσι(ν)	κυκλοῦσι(ν)

γ′. Μέση καὶ παθητικὴ διαθέσεις· συζυγίαι Α′ (-ομαι) καὶ Β′ (B_1 -ῶμαι, B_2 –οῦμαι, B_3 –οῦμαι).

		Α′ -ομαι	Β′ -ῶμαι / -οῦμαι		
			B_1' -ῶμαι	B_2' -οῦμαι	B_3' -οῦμαι
ἑνικὸς	ἐγὼ	λούομαι	κοιμῶμαι	ποιοῦμαι	κυκλοῦμαι
	σὺ	λούει / ῃ	κοιμᾷ	ποιεῖ / ποιῇ	κυκλοῖ
	οὗτος	λούεται	κοιμᾶται	ποιεῖται	κυκλοῦται
πληθυντικὸς	ἡμεῖς	λουόμεθα	κοιμώμεθα	ποιούμεθα	κυκλούμεθα
	ὑμεῖς	λούεσθε	κοιμᾶσθε	ποιεῖσθε	κυκλοῦσθε
	οὗτοι	λούονται	κοιμῶνται	ποιοῦνται	κυκλοῦνται

- Παθητικὴ διάθεσις· Ἡ Ἀττικῆς ναῦς διώκει τὴν Ἀρτεμισίας ναῦν.

  Ἡ Ἀρτεμισίας ναῦς διώκεται ὑπὸ τῆς Ἀττικῆς νεώς.

δ΄. Ἐνεργητικὴ διάθεσις· συζυγίαι Γ΄ (-μι).

Γ΄ -μι

		ἵστημι	τίθημι	δίδωμι
ἑνικὸς	ἐγὼ	ἵστημι	τίθημι	δίδωμι
	σὺ	ἵστης	τίθης	δίδως
	οὗτος	ἵστησι(ν)	τίθησι(ν)	δίδωσι(ν)
πληθυντικὸς	ἡμεῖς	ἵσταμεν	τίθεμεν	δίδομεν
	ὑμεῖς	ἵστατε	τίθετε	δίδοτε
	οὗτοι	ἱστᾶσι(ν)	τιθέασι(ν)	διδόασι(ν)

ε΄. Μέση καὶ παθητικὴ διάθεσις· συζυγίαι Γ΄ (-μαι).

Γ΄ -μαι

		ἵστημι	τίθημι	δίδωμι
ἑνικὸς	ἐγὼ	ἵσταμαι	τίθεμαι	δίδομαι
	σὺ	ἵστασαι	τίθεσαι	δίδοσαι
	οὗτος	ἵσταται	τίθεται	δίδοται
πληθυντικὸς	ἡμεῖς	ἱστάμεθα	τιθέμεθα	διδόμεθα
	ὑμεῖς	ἵστασθε	τίθεσθε	δίδοσθε
	οὗτοι	ἵστανται	τίθενται	δίδονται

§ VII. 2. Ὁ παρατατικὸς χρόνος·

α′. Τὸ ῥῆμα «εἰμί»·

ἑνικὸς	ἐγὼ	ἦν
	σὺ	ἦσθα
	οὗτος	ἦν
πληθυντικὸς	ἡμεῖς	ἦμεν
	ὑμεῖς	ἦτε
	οὗτοι	ἦσαν

β′. Ἐνεργητικὴ διάθεσις· συζυγίαι Α′ καὶ Β′ (B_1 -άω, B_2 -έω, B_3 -όω).

		Α′ -ω	Β′ -ῶ		
			B_1' -άω	B_2' -έω	B_3' -όω
ἑνικὸς	ἐγὼ	ἔλουον	ἐκοίμων	ἐποίουν	ἐκύκλουν
	σὺ	ἔλουες	ἐκοίμας	ἐποίεις	ἐκύκλους
	οὗτος	ἔλουε(ν)	ἐκοίμα	ἐποίει	ἐκύκλου
πληθυντικὸς	ἡμεῖς	ἐλούομεν	ἐκοιμῶμεν	ἐποιοῦμεν	ἐκυκλοῦμεν
	ὑμεῖς	ἐλούετε	ἐκοιμᾶτε	ἐποιεῖτε	ἐκυκλοῦτε
	οὗτοι	ἔλουον	ἐκοίμων	ἐποίουν	ἐκύκλουν

γ'. Μέση καὶ παθητικὴ διαθέσεις· συζυγίαι Α' (-ομαι) καὶ Β' (B_1 -ῶμαι, B_2 –οῦμαι, B_3 –οῦμαι).

		Α' -ομαι	Β' -ῶμαι / -οῦμαι		
			B_1' -ῶμαι	B_2' -οῦμαι	B_3' -οῦμαι
ἑνικὸς	ἐγὼ	ἐλουόμην	ἐκοιμώμην	ἐποιούμην	ἐκυκλούμην
	σὺ	ἐλούου	ἐκοιμῶ	ἐποιοῦ	ἐκυκλοῦ
	οὗτος	ἐλούετο	ἐκοιμᾶτο	ἐποιεῖτο	ἐκυκλοῦτο
πληθυντικὸς	ἡμεῖς	ἐλουόμεθα	ἐκοιμώμεθα	ἐποιούμεθα	ἐκυκλούμεθα
	ὑμεῖς	ἐλούεσθε	ἐκοιμᾶσθε	ἐποιεῖσθε	ἐκυκλοῦσθε
	οὗτοι	ἐλούοντο	ἐκοιμῶντο	ἐποιοῦντο	ἐκυκλοῦντο

γ'.Ἐνεργητικὴ διάθεσις· συζυγίαι Γ' (-μι).

		Γ' -μι		
		ἵστημι	τίθημι	δίδωμι
ἑνικὸς	ἐγὼ	ἵστην	ἐτίθηνι	ἐδίδουν
	σὺ	ἵστης	ἐτίθεις	ἐδίδους
	οὗτος	ἵστη	ἐτίθει	ἐδίδου
πληθυντικὸς	ἡμεῖς	ἵσταμεν	ἐτίθεμεν	ἐδίδομεν
	ὑμεῖς	ἵστατε	ἐτίθετε	ἐδίδοτε
	οὗτοι	ἱστᾶσαν	ἐτίθεσαν	ἐδίδοσαν

§ VII. 3. Ὁ ἀόριστος χρόνος·

3.1. Ἀόριστος ἀλλαγῇ τῆς ῥίζης·

α'. Τὸ ῥῆμα «εἰμί»· χρῆται τῷ ἀορίστῳ τοῦ ῥήματος «γίγνομαι»· «ἐγενόμην».

β'. Ἐνεργητικὴ διάθεσις οἷον «λέγω», ὃ ποιεῖ «εἶπον».

ἑνικός	ἐγὼ	εἶπον
	σὺ	εἶπες
	οὗτος	εἶπε(ν)
πληθυντικός	ἡμεῖς	εἴπομεν
	ὑμεῖς	εἴπετε
	οὗτοι	εἶπον

γ'. Μέση καὶ παθητικὴ διάθεσις· οἷον «γίγνομαι», ὃ ποιεῖ «ἐγενόμην».

ἑνικός	ἐγὼ	ἐγενόμην
	σὺ	ἐγένου
	οὗτος	ἐγένετο
πληθυντικός	ἡμεῖς	ἐγενόμεθα
	ὑμεῖς	ἐγένεσθε
	οὗτοι	ἐγένοντο

λέγω	εἶπον
ὁρῶ	εἶδον
αἱρῶ	εἷλον
φέρω	ἤνεγκον
ἐσθίω	ἔφαγον
ἔρχομαι	ἦλθον
ἄγω	ἤγαγον
πίπτω	ἔπεσον
τίκτω	ἔτεκον
ἀποθνῄσκω	ἀπέθανον
λείπω	ἔλιπον
φεύγω	ἔφυγον
βάλλω	ἔβαλον
πίνω	ἔπιον
λαμβάνω	ἔλαβον
μανθάνω	ἔμαθον
τυγχάνω	ἔτυχον
ἔχω	ἔσχον
τρέπω	ἔτραπον
γίγνομαι	ἐγενόμην
πείθομαι	ἐπιθόμην
ἀφικνοῦμαι	ἀφικόμην

3.2. Ἀόριστος τῇ καταλήξει -σα·

- Τὰ ἄφωνα «π, β, φ, πτ» καὶ «-σ-» γίγνεται «-ψ-», οἷον «ἔγραψα» ἐκ τοῦ «γράφω».
- Τὰ ἄφωνα «κ, γ, χ, ττ/σσ» καὶ «-σ-» γίγνεται «-ξ-», οἷον «ἦρξα» ἐκ τοῦ «ἄρχω».
- Τὰ ἄφωνα «τ, δ, θ, ζ» καὶ «-σ-» γίγνεται «-σ-», οἷον «ἠγόρασα» ἐκ τοῦ «ἀγοράζω».
- Τὰ ὑγρὰ σύμφωνα «λ, ρ, μ, ν» καὶ «-σ-» γίγνεται οἷον·

  «ἤγγειλα» ἐκ τοῦ «ἀγγέλλω»

  «διέφθειρα» ἐκ τοῦ «διαφθείρω»

  «ἔνειμα» ἐκ τοῦ «νέμω»

  «ἀπέκτεινα» ἐκ τοῦ «ἀποκτείνω»

α'.Ἐνεργητικὴ διάθεσις· συζυγίαι Α' καὶ Β' (B_1 -άω, B_2 -έω, B_3 -όω).

		Α' -ω	Β' -ῶ		
			B_1' -άω	B_2' -έω	B_3' -όω
ἑνικὸς	ἐγὼ	ἔλουσα	ἐκοίμησα	ἐποίησα	ἐκύκλωσα
	σὺ	ἔλουσας	ἐκοίμησας	ἐποίησας	ἐκύκλωσας
	οὗτος	ἔλουσε(ν)	ἐκοίμησε(ν)	ἐποίησε(ν)	ἐκύκλωσε(ν)
πληθυντικὸς	ἡμεῖς	ἐλούσαμεν	ἐκοιμήσαμεν	ἐποιήσαμεν	ἐκυκλώσαμεν
	ὑμεῖς	ἐλούσατε	ἐκοιμήσατε	ἐποιήσατε	ἐκυκλώσατε
	οὗτοι	ἔλουσαν	ἐκοίμησαν	ἐποίησαν	ἐκύκλωσαν

β΄. Μέση διάθεσις· συζυγίαι Α΄ (-ομαι) καὶ Β΄ (Β$_1$ -ῶμαι, Β$_2$ –οῦμαι, Β$_3$ –οῦμαι).

		Α΄ -ομαι	Β΄ -ῶμαι / -οῦμαι		
			Β$_1$΄ -ῶμαι	Β$_2$΄ -οῦμαι	Β$_3$΄ -οῦμαι
ἑνικὸς	ἐγὼ	ἐλουσάμην	ἐκοιμησάμην	ἐποιησάμην	ἐκυκλωσάμην
	σὺ	ἐλούσω	ἐκοιμήσω	ἐποιήσω	ἐκυκλώσω
	οὗτος	ἐλούσατο	ἐκοιμήσατο	ἐποιήσατο	ἐκυκλώσατο
πληθυντικὸς	ἡμεῖς	ἐλουσάμεθα	ἐκοιμησάμεθα	ἐποιησάμεθα	ἐκυκλωσάμεθα
	ὑμεῖς	ἐλούσασθε	ἐνικήσασθε	ἐποιήσασθε	ἐκυκλώσασθε
	οὗτοι	ἐλούσαντο	ἐνικήσαντο	ἐποιήσαντο	ἐκυκλώσαντο

γ΄. Παθητικὴ διάθεσις· συζυγίαι Α΄ (-ομαι) καὶ Β΄ (Β$_1$ -ῶμαι, Β$_2$ –οῦμαι, Β$_3$ –οῦμαι).

		Α΄ -ομαι	Β΄ -ῶμαι / -οῦμαι		
			Β$_1$΄ -ῶμαι	Β$_2$΄ -οῦμαι	Β$_3$΄ -οῦμαι
ἑνικὸς	ἐγὼ	ἐλούθην	ἐκοιμήθην	ἐποιήθην	ἐκυκλώθην
	σὺ	ἐλούθης	ἐκοιμήθης	ἐποιήθης	ἐκυκλώθης
	οὗτος	ἐλούθη	ἐκοιμήθη	ἐποιήθη	ἐκυκλώθη
πληθυντικὸς	ἡμεῖς	ἐλούθημεν	ἐκοιμήθημεν	ἐποιήθημεν	ἐκυκλώθημεν
	ὑμεῖς	ἐλούθητε	ἐκοιμήθητε	ἐποιήθητε	ἐκυκλώθητε
	οὗτοι	ἐλούθησαν	ἐκοιμήθησαν	ἐποιήθησαν	ἐκυκλώθησαν

3.3. Ἀόριστος (ἐνεργητικὴ διάθεσις) συζυγία Γ -μι·

		Γ' -μι		
		ἵστημι	τίθημι	δίδωμι
ἑνικὸς	ἐγὼ	ἔστην	ἔθηκα	ἔδωκα
	σὺ	ἔστης	ἔθηκας	ἔδωκας
	οὗτος	ἔστη	ἔθηκε(ν)	ἔδωκε(ν)
πληθυντικὸς	ἡμεῖς	ἔστημεν	ἔθεμεν	ἔδομεν
	ὑμεῖς	ἔστητε	ἔθετε	ἔδοτε
	οὗτοι	ἔστησαν	ἔθεσαν	ἔδοσαν

§ VII. 4. Ὁ μέλλων χρόνος· ἔχει δὲ τὰς ὁμοίας ἀλλαγὰς τῷ ἀορίστῳ -σα, οἷον «γράψω» ἐκ τοῦ «γράφω»... Ἔστι δὲ καὶ ῥήματα ἀλλαγὰς ἔχοντα, οἷον «φάγομαι» ἐκ τοῦ «ἐσθίω», «πίομαι» ἐκ τοῦ «πίνω».

α'. Τὸ ῥῆμα «εἰμί»·

ἑνικὸς	ἐγὼ	ἔσομαι
	σὺ	ἔσῃ / ἔσει
	οὗτος	ἔσεται
πληθυντικὸς	ἡμεῖς	ἐσόμεθα
	ὑμεῖς	ἔσεσθε
	οὗτοι	ἔσονται

β'. Ἐνεργητικὴ διάθεσις· συζυγίαι Α' καὶ Β' (B_1 -άω, B_2 -έω, B_3 -όω).

		Α' -ω	Β' -ῶ B_1' -άω	 B_2' -έω	 B_3' -όω
ἑνικὸς	ἐγὼ	λούσω	κοιμήσω	ποιήσω	κυκλώσω
	σὺ	λούσεις	κοιμήσεις	ποιήσεις	κυκλώσεις
	οὗτος	λούσει	κοιμήσει	ποιήσει	κυκλώσει
πληθυντικὸς	ἡμεῖς	λούσομεν	κοιμήσομεν	ποιήσομεν	κυκλώσομεν
	ὑμεῖς	λούσετε	κοιμήσετε	ποιήσετε	κυκλώσετε
	οὗτοι	λούσουσι(ν)	κοιμήσουσι(ν)	ποιήσουσι(ν)	κυκλώσουσι(ν)

γ'. Μέση διάθεσις· συζυγίαι Α' καὶ Β' (B_1 -άω, B_2 -έω, B_3 -όω).

		Α' -ω	Β' -ῶ B_1' -άω	 B_2' -έω	 B_3' -όω
ἑνικὸς	ἐγὼ	λούσομαι	κοιμήσομαι	ποιήσομαι	κυκλώσομαι
	σὺ	λούσῃ / -ει	κοιμήσῃ / -ει	ποιήσῃ / -ει	κυκλώσῃ / -ει
	οὗτος	λούσεται	κοιμήσεται	ποιήσεται	κυκλώσεται
πληθυντικὸς	ἡμεῖς	λουσόμεθα	κοιμησόμεθα	ποιησόμεθα	κυκλωσόμεθα
	ὑμεῖς	λούσεσθε	κοιμήσεσθε	ποιήσεσθε	κυκλώσεσθε
	οὗτοι	λούσονται	κοιμήσονται	ποιήσονται	κυκλώσονται

δ'. Παθητικὴ διάθεσις· συζυγίαι Α' καὶ Β' (B_1 -άω, B_2 -έω, B_3 -όω) ἔχουσι τὰς ὁμοίας καταλήξεις τῇ μέσῃ διαθέσει, ἀλλὰ τῷ -θησ-, οἷον «λουθήσομαι», «κοιμηθήσομαι»...

§ VII. 5. Ὁ παρακείμενος χρόνος·

α΄. Ἐνεργητικὴ διάθεσις· συζυγίαι Α΄, Β΄, καὶ «οἶδα» ἐκ τοῦ «ὁρῶ» καὶ «γέγονα» ἐκ τοῦ «γίγνομαι».

		Α΄ -ω	Β΄ -ῶ	ὁρῶ οἶδα	γίγνομαι γέγονα
ἑνικὸς	ἐγὼ	λέλουκα	πεποίηκα	οἶδα	γέγονα
	σὺ	λέλουκας	πεποίηκας	οἶσθα	γέγονας
	οὗτος	λέλουκε(ν)	πεποίηκε(ν)	οἶδε(ν)	γέγονε(ν)
πληθυντικὸς	ἡμεῖς	λελούκαμεν	πεποιήκαμεν	ἴσμεν	γεγόναμεν
	ὑμεῖς	λελούκατε	πεποιήκατε	ἴστε	γεγόνατε
	οὗτοι	λελούκασι(ν)	πεποιήκασι(ν)	ἴσασι(ν)	γεγόνασι(ν)

β΄. Μέση καὶ παθητικὴ διαθέσεις· συζυγίαι Α΄ καὶ Β΄.

		Α΄ -ω	Β΄ -ῶ
ἑνικὸς	ἐγὼ	λέλουμαι	πεποίημαι
	σὺ	λέλουσαι	πεποίησαι
	οὗτος	λέλουται	πεποίηται
πληθυντικὸς	ἡμεῖς	λελούμεθα	πεποιήμεθα
	ὑμεῖς	λέλουσθε	πεποίησθε
	οὗτοι	λέλουνται	πεποίηνται

§ VII. 6. Ἡ προστακτικὴ ἔγκλισις ·

α′. Ἐνεργητικὴ διάθεσις (ἐνεστὼς χρόνος)· τὸ ῥῆμα «εἰμί», συζυγίαι Α′ καὶ Β′ (B_1 -άω, B_2 -έω, B_3 -όω).

		εἰμί	Α′ -ω	Β′ -ῶ		
				B_1' -άω	B_2' -έω	B_3' -όω
ἑνικὸς	-	-	-	-	-	-
	σὺ	ἰσθί	λοῦε	κοίμα	ποίει	κύκλου
	οὗτος	ἔστω	λουέτω	κοιμάτω	ποιείτω	κυκλούτω
πληθυντικὸς	-	-	-	-	-	-
	ὑμεῖς	ἔστε	λούετε	κοιμᾶτε	ποιεῖτε	κυκλοῦτε
	οὗτοι	ἔστων	λουόντων	κοιμώντων	ποιούντων	κυκλούντων

β′. Μέση καὶ παθητικὴ διαθέσεις (ἐνεστὼς χρόνος)· συζυγίαι Α′ καὶ Β′ (B_1 -άω, B_2 -έω, B_3 -όω).

		Α′ -ω	Β′ -ῶ		
			B_1' -άω	B_2' -έω	B_3' -όω
ἑνικὸς	-	-	-	-	-
	σὺ	λούου	κοιμῶ	ποιοῦ	κυκλοῦ
	οὗτος	λουέσθω	κοιμάσθω	ποιείσθω	κυκλούσθω
πληθυντικὸς	-	-	-	-	-
	ὑμεῖς	λούεσθε	κοιμᾶσθε	ποιεῖσθε	κυκλοῦσθε
	οὗτοι	λουέσθων	κοιμάσθων	ποιείσθων	κυκλούσθων

§ VII. 7. Ἡ ὑποτακτικὴ ἔγκλισις·

α΄. Ἐνεργητικὴ διάθεσις (ἐνεστὼς χρόνος)· τὸ ῥῆμα «εἰμί», συζυγίαι Α΄ καὶ Β΄ (B_1 -άω, B_2 -έω, B_3 -όω).

		εἰμί	Α΄ -ω	Β΄ -ῶ		
				Β₁΄ -άω	Β₂΄ -έω	Β₃΄ -όω
ἑνικός	ἐγὼ	ὦ	λούω	κοιμῶ	ποιῶ	κυκλῶ
	σὺ	ᾖς	λούῃς	κοιμᾷς	ποιῇς	κυκλοῖς
	οὗτος	ᾖ	λούῃ	κοιμᾷ	ποιῇ	κυκλοῖ
πληθυντικός	ἡμεῖς	ὦμεν	λούωμεν	κοιμῶμεν	ποιῶμεν	κυκλῶμεν
	ὑμεῖς	ἦτε	λούητε	κοιμᾶτε	ποιῆτε	κυκλῶτε
	οὗτοι	ὦσι(ν)	λούουσι(ν)	κοιμῶσι(ν)	ποιῶσι(ν)	κυκλῶσι(ν)

β΄. Μέση καὶ παθητικὴ διαθέσεις (ἐνεστὼς χρόνος)· συζυγίαι Α΄ καὶ Β΄ (B_1 -άω, B_2 -έω, B_3 -όω).

		Α΄ -ω	Β΄ -ῶ		
			Β₁΄ -άω	Β₂΄ -έω	Β₃΄ -όω
ἑνικός	ἐγὼ	λούωμαι	κοιμῶμαι	ποιῶμαι	κυκλῶμαι
	σὺ	λούῃ	κοιμᾷ	ποιῇ	κυκλοῖ
	οὗτος	λούηται	κοιμᾶται	ποιῆται	κυκλῶται
πληθυντικός	ἡμεῖς	λουώμεθα	κοιμώμεθα	ποιώμεθα	κυκλώμεθα
	ὑμεῖς	λούησθε	κοιμᾶσθε	ποιῆσθε	κυκλῶσθε
	οὗτοι	λούωνται	κοιμῶνται	ποιῶνται	κυκλῶνται

§ VII. 8. Ἡ ἀπαρέμφατος ἔγκλισις·

8.1. Μορφὴ τῆς ἀπαρεμφάτου·

	ἐνεργητική	μέση	παθητική
ἐνεστώς	λούειν	λούεσθαι	
ἀόριστος	λοῦσαι	λούσασθαι	λουθῆναι
	εἰπεῖν	γένεσθαι	
μέλλων	λούσειν	λούσεσθαι	λουθήσεσθαι
παρακείμενον	λελουκέναι	λελοῦσθαι	

❖ Ἡ συζυγία Β ποιεῖ τὸν ἐνεστῶτα· B_1 -άω «κοιμᾶν», B_2 –έω «ποιεῖν», B_3 –όω «κυκλοῦν». Τὸ ῥῆμα «εἰμί» ποιεῖ τὸν ἐνεστῶτα· «εἶναι».

8.2. Σύνταξις τῆς ἀπαρεμφάτου·

- Ὁ ῥαψῳδὸς ἐθέλει. Ὁ ῥαψῳδὸς ἐσθίει σίτια καὶ πίνει οἶνον. =
  Ὁ ῥαψῳδὸς ἐθέλει ἐσθίειν σίτια καὶ πίνειν οἶνον.
- Ὁ ἄγγελος ἀγγέλλει ὅτι πόλεμός ἐστι ταῖς Ἀθήναις. =
  Ὁ ἄγγελος ἀγγέλλει πόλεμον εἶναι ταῖς Ἀθήναις.
- Ὁ ἄγγελος ἀγγέλλει ὅτι οἱ Βοιωτοὶ εἰσβάλλουσιν εἰς τὴν Ἀττικήν. =
  Ὁ ἄγγελος ἀγγέλλει τοὺς Βοιωτοὺς εἰσβάλλειν εἰς τὴν Ἀττικήν.

§ VII. 9. Ἡ μετοχή· μετοχή ἐστι λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆε τῶν ὀνομάτων ἰδιότητος.

9.1. Μορφὴ τῆς μετοχῆς·

α΄. Τὸ ῥῆμα «εἰμί»·

		ἐνεστώς			μέλλων		
		ἀρσ.	θηλ.	οὐδ.	ἀρσ.	θηλ.	οὐδ.
ἑνικὸς ἀριθμός	ὀνομ.	ὤν	οὖσα	ὄν	ἐσόμενος	ἐσομένη	ἐσόμενον
	αἰτ.	ὄντα	οὖσαν	ὄν	ἐσόμενον	ἐσομένην	ἐσόμενον
	γεν.	ὄντος	οὔσης	ὄντος	ἐσομένου	ἐσομένης	ἐσομένου
	δοτ.	ὄντι	οὔσῃ	ὄντι	ἐσομένῳ	ἐσομένῃ	ἐσομένῳ
πληθυντικὸς ἀριθμός	ὀνομ.	ὄντες	οὖσαι	ὄντα	ἐσόμενοι	ἐσομέναι	ἐσόμενα
	αἰτ.	ὄντας	οὔσας	ὄντα	ἐσομένους	ἐσομένας	ἐσόμενα
	γεν.	ὄντων	οὐσῶν	ὄντων	ἐσομένων	ἐσομένων	ἐσομένων
	δοτ.	οὖσι(ν)	οὔσαις	οὖσι(ν)	ἐσομένοις	ἐσομέναις	ἐσομένοις

β΄. Ἐνεργητική, μέση καὶ παθητικὴ διαθέσεις·

	ἐνεργητική	μέση	παθητική
ἐνεστώς	λούων, οντος λούουσα, ης λοῦον, οντος	λουόμενος, ου λουομένη, ης λουόμενον, ου	
ἀόριστος	λούσας, σαντος λούσασα, ης λούσαν, σαντος	λουσάμενος, ου λουσαμένη, ης λουσάμενον, ου	λουθείς, θέντος λουθεῖσα, ης λουθέν, θέντος
	λαβών, οντος λαβοῦσα, ης λαβόν, οντος	λαβόμενος, ου λαβομένη, ης λαβόμενον, ου	

	ἐνεργητική	μέση	παθητική
μέλλων	λούσων, οντος λούσουσα, ης λοῦσον, οντος	λουσόμενος, ου λουσομένη, ης λουσόμενον, ου	λουθησόμενος, ου λουθησομένη, ης λουθησόμενον, ου
παρακείμενον	λελουκώς, ότος λελουκυῖα, ας λελουκός, ότος	λελουμένος, ου λελουμένη, ης λελουμένον, ου	

9.2. Σύνταξις τῆς μετοχῆς·

- Ὁ τρὶς ἐπὶ τὴν γῆν καταβάλλων τὸν ἕτερον νικᾷ. [ὁ καταβάλλων] =
  Ὃς τρὶς ἐπὶ τὴν γῆν καταβάλλει, τὸν ἕτερον νικᾷ. [ὃς καταβάλλει]

- Οἱ πυρριχισταὶ χορεύουσιν, παίοντες τὰς ἀσπίδας τοῖς ξίφεσιν. [παίοντες] =
  Οἱ πυρριχισταὶ χορεύουσιν, ἐν ᾧ παίουσι τὰς ἀσπίδας τοῖς ξίφεσιν. [ἐν ᾧ παίουσι]

  Διωκομένη ὑπὸ τῆς Ἀττικῆς, ἐνέβαλε νηῒ φιλίᾳ. [διωκομένη] =
  Ἐπειδὴ ἐδιώκετο ὑπὸ τῆς Ἀττικῆς, ἐνέβαλε νηῒ φιλίᾳ. [ἐπειδὴ ἐδιώκετο]


  Ἐσθιόντων ἡμῶν, τῶν ναυτῶν τις λέγει... [ἐσθιόντων ἡμῶν] =
  Ἐν ᾧ ἡμεῖς ἐσθίομεν, τῶν ναυτῶν τις λέγει... [ἐν ᾧ ἡμεῖς ἐσθίομεν]

- Ὁ μὲν πρῶτος *παύει* τρέχων, ὁ δὲ δεύτερος λαμβάνει τὴν λαμπάδα. =
  Ὁ μὲν πρῶτος οὐ τρέχει πλέον, ὁ δὲ δεύτερος λαμβάνει τὴν λαμπάδα.

§ VIII. Περὶ ἐπιρρήματος· τὸ ἐπίρρημά ἐστι μέρος λόγου ἄκλιτον. Τῶν ἐπιρρημάτων ἐστὶν...

- τὰ μὲν χρόνου, οἷον νῦν, τότε, αὖθις, χθές, τήμερον, αὔριον, ἐνίοτε, οὐδέποτε.
- τὰ δὲ μεσότητος, οἷον καλῶς, ἀληθῶς.
- τὰ δὲ ποσότητος ἢ ἀριθμοῦ, οἷον πολλάκις, δίς, τρίς.
- τὰ δὲ τοπικά, οἷον ἄνω, οἴκαδε.
- τὰ δὲ σχετλιαστικά, οἷον φεῦ.
- τὰ δὲ ἀρνήσεως, οἷον οὐ, οὐχί, οὐδαμῶς, μή.
- τὰ δὲ συγκαταθέσεως, οἷον ναί.
- τὰ δὲ παραβολῆς ἢ ὁμοιώσεως, οἷον ὡς, ὥσπερ.
- τὰ δὲ συγκρίσεως ἢ ἐπιτάσεως, οἷον μᾶλλον, μάλα, μάλιστα, λίαν, πάνυ.
- τὰ δὲ ἐρωτήσεως, οἷον ποῦ, πόθεν, πῶς.

§ IX. Περὶ προθέσεως· ἡ πρόθεσίς ἐστι λέξεις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν. Εἰσὶ δὲ αἱ πᾶσαι προθέσεις ὀκτὼ καὶ δέκα· ὧν μονοσύλλαβοι μὲν ἕξ· ἐν, εἰς, ἐξ, σύν, πρό, πρός· δισύλλαβοι δὲ δύο καὶ δέκα· ἀνά, κατά, διά, μετά, παρά, ἀντί, ἐπί, περί, ἀμφί, ἀπό, ὑπό, ὑπέρ.



§ X. **Περὶ συνδέσμου**·ὁ σύνδεσμός ἐστι λέξις συνδέουσα διάνοιαν μετὰ τάξεως. Τῶν συνδέσμων εἰσὶν...

- οἱ μὲν συμπλεκτικοί εἰσιν οἵδε· ... μὲν ... δὲ ..., τέ, καὶ, ἀλλὰ, οὐδὲ, μηδὲ.
  - Ἐγὼ μέν εἰμι Ἀλέξανδρος, ὁ δὲ ἀδελφὸς Στέφανός ἐστιν.
  - Ἐγώ τε καὶ ὁ Στέφανος καὶ ἡ Ἑλένη ἐσμὲν τέκνα τοῦ Φιλίππου καὶ τῆς Εὐρυδίκης.
  - Τὸ ἡμέτερον χωρίον οὔκ ἐστι μέγα, ἀλλὰ μικρόν.
  - Ἡ τροφὸς οὐκ ἔστι μικρὰ, οὐδὲ μικροὶ οἱ λόφοι.
- ὁ δὲ διαζευκτικός ἐστιν ὅδε· ἢ.
  - Ὁρᾷς ἵππον ἢ ὄνον.
- οἱ δὲ χρονικοί· ἐπειδή, ἐπεί, ὅτε, ὅταν.
  - Ὅταν ᾖ γαλήνη, γελᾷ ἡ θάλαττα.
- οἱ δὲ παρασυναπτικοί· διότι, ὅτι, ἐπειδή, ἐπεί.
  - Λέγω οὕτως, ἐπειδὴ σὺ οὐκ εἶ Ἑλληνικὸν παιδίον.
- οἱ δὲ συναπτικοί· εἰ, εἴπερ, ἐάν.
  - Σκοποῦμεν, εἰ καλιά ἐστιν.
  - Λέξω σοι, ἐὰν ἐθέλῃς ἀκούειν.
- οἱ δὲ αἰτιολογικοί· ἵνα, ὅπως.
- οἱ δὲ παραπληρωματικοί· δή, οὖν.

ΛΕΞΕΙΣ

Α

ἀγαθός, ή, όν ΣΤ α′
ἀγγέλλω ΙΑ α′
ἄγγελος, ου ὁ ΙΑ α′
ἀγένειος, ον Η β′
ἀγνοέω -ῶ Ε β′
ἀγορά, ᾶς ἡ Ε α′
ἀγοράζω Ε α′
ἀγοραστής, οῦ ὁ Ε α′
ἄγριος, α, ον Γ β′
ἀγρός, οῦ ὁ Β α′
ἄγω (ἀόρ. ἤγαγον) ΣΤ α′
ἀγών, ῶνος ὁ Η β′
ἀγωνίζομαι Η β′
ἀδελφή, ῆς ἡ Β α′
ἀδελφός, οῦ ὁ Β α′
ἀδύνατος, ον Δ β′
ᾄδω Ζ α′
ἀεί ΣΤ α′
ἀήρ, ἀέρος ὁ Ζ α′
Ἀθήναζε ΙΑ β′
αἰγιαλός, οῦ ὁ ΙΒ α′
αἷμα, ατος τό Ζ α′
αἴξ, αἰγός ὁ, ἡ ΙΒ α′
αἱρέω -ῶ (ἀόρ. εἷλον) Ι β′
αἴσθησις, εως ἡ Ζ β′
αἰτέω -ῶ ΙΒ β′
αἰχμάλωτος, ον ΙΑ α′
ἄκανθα, ης ἡ Ε α′
ἀκμή, ῆς ἡ Θ α′
ἀκοή, ῆς ἡ ΣΤ γ′
ἀκούω Δ α′
ἀκράτισμα, ατος τό Ε β′
ἀκριβῶς ΙΒ β′
ἀκρόπολις, εως ἡ Η α′
ἄκρος, α, ον Δ β′
ἄκων, οντος ὁ Η β′
ἀλγέω -ῶ Ζ α′
ἀλείφω Η β′
ἀληθής, ές ΙΑ β′
ἀλλά Α β′
ἀλλήλους, ας, α Ε β′
ἅλλομαι Η β′
ἄλλος, η, ο Β α′
ἄλλοτε Θ β′
ἄλλως Γ α′
ἅλμα, ατος τό Η β′
ἅμα Β β′
ἅμαξα, ης ἡ [ἄμαξα, ης ἡ] Ε α′
ἄμπελος, ου ἡ Γ β′
ἀναβαίνω Δ β′
ἀναγιγνώσκω ΣΤ α′
ἀνάγκη, ης ἡ ΙΑ β′
ἀνάγομαι ΙΒ β′
ἀνακρούομαι ΙΒ β′
ἀναμένω Θ β′
ἄνεμος, ου ὁ Θ β′
ἀνέρχομαι Ζ α′
ἄνευ ΣΤ β′
ἀνεῳγμένος, η, ον [ἀνοίγω] Ε α′
ἀνήρ, ἀνδρός ὁ Η β′
ἄνθραξ, ακος ὁ ΙΒ α′
ἄνθρωπος, ου ὁ Δ α′

ἀνοίγω Δ β′
ἀνταγωνιστής ὁ Η β′
ἀντανάγομαι ΙΒ β′
ἀντί Δ α′
ἀντιλέγω Ζ α′
ἀξίνη, ης ἡ Θ α′
ἀπάγω Ι α′
ἄπειμι [ἀπό-εἰμί] Η α′
ἀπέρχομαι Η β′
ἀποβάλλω Ι β′
ἀποθνῄσκω (ἀόρ. ἀπέθανον) Δ β′
ἀποκρίνομαι ΙΒ α′
ἀποκτείνω ΙΑ α′
ἀπολέγομαι Η β′
ἀποστρέφω ΙΒ β′
ἀποφεύγω ΙΒ β′
ἆρα Α β′
ἀρέσκω ΙΒ α′
ἀριθμέω -ῶ Ε β′
ἀριστάω -ῶ Ε β′
ἀριστερά, ᾶς ἡ Γ α′
ἄριστον, ου τό Ε β′
ἀρότης, ου ὁ Θ α′
ἄροτρον, ου τό Θ α′
ἀρόω -ῶ Θ α′
ἄρρωστος, ον Ζ α′
ἄρτος, ου ὁ Ε β′
ἀρχή, ῆς ἡ ΙΒ β′
ἄρχω Η α′
ἄσμενος, η, ον ΣΤ β′
ἀσπίς, ίδος ἡ Η β′
ἀστραπή, ῆς ἡ Θ β′
ἀστράπτω Θ β′
ἄστρον, ου τό Θ β′
αὖθις Ε β′
αὐλέω -ῶ Η β′
αὐλή, ῆς ἡ Ε α′
αὐλῳδός, οῦ ὁ Η β′
αὐξάνω ΙΑ β′
αὐτομολέω -ῶ ΙΒ β′
αὐτός, ή, ό Α β′
ἁφή, ῆς ἡ Ζ β′
ἀφικνέομαι -οῦμαι (ἀόρ. ἀφικόμην) Η β′

Β

βαλβίς, ῖδος ἡ Η β′
βάλλω (ἀόρ. ἔβαλον) Η β′
βάρβαρος, ον ΙΒ β′
βασιλεύς, εως (ὁ) ΙΑ α′
βασκαίνω Ζ α′
βασκανία, ας ἡ Ζ α′
βιβλίον, ου τό ΣΤ β′
βλάπτω Θ β′
βλαύτη, ης ἡ Ι β′
βλέφαρον, ου τό Ζ β′
βοάω -ῶ ΣΤ β′
βοηθέω -ῶ ΙΒ β′
βουκολέω -ῶ ΙΒ α′
βουκόλος, ου ὁ ΙΒ α′
βοῦς, βοός ὁ Θ α′
βραχίων, ονος ὁ Ζ β′
βροντάω -ῶ Θ β′
βροντή, ῆς ἡ Θ β′

Γ

γάλα, γάλακτος τό Ε β΄
γαλήνη, ης ἡ ΙΒ α΄
γάρ Β β΄
γελάω -ῶ Θ β΄
γέρων, οντος ὁ ΙΒ β΄
γεῦμα, ατος τό Ζ β΄
γεωργέω -ῶ Β α΄
γεωργός, οῦ ὁ Β α΄
γῆ, γῆς ἡ ΣΤ α΄
γίγνομαι (ἀόρ. ἐγενόμην) Ζ α΄
γιγνώσκω Ε β΄
γλυκύς, εῖα, ύ Ζ α΄
γλῶττα, ης ἡ ΣΤ γ΄, Ζ β΄
γραμμή, ῆς ἡ Η β΄
γραφή, ῆς ἡ Η α΄
γράφω ΣΤ α΄
γρυλίζω Θ α΄
γυμνικός, ή, όν Η β΄
γυνή, γυναικός ἡ Η β΄
γύψος, ου ἡ ΣΤ α΄
γωνία, ας ἡ Ζ β΄

Δ

δάκτυλος, ου ὁ ΣΤ γ΄
δέ Β α΄
δεινῶς Θ β΄
δειπνέω -ῶ Ε β΄
δεῖπνον, ου τό Ε β΄
δέκα Ε β΄
δένδρον, ου τό Γ β΄
δεξιά, ᾶς ἡ Γ α΄
δέος, ους τό ΙΒ β΄
δεσμός, οῦ ὁ Θ α΄
δεσπότης, ου ὁ ΙΒ β΄
δεῦρο ΙΑ α΄
δεύτερος, α, ον Ε β΄
δέχομαι Ζ α΄
δέω ΣΤ β΄
δή Β α΄
δῆλος, η, ον Β α΄
δήμαρχος, ου ὁ Η α΄
δημοκρατία, ας ἡ ΙΑ β΄
δῆμος, ου ὁ Η α΄
δημότης, ου ὁ Η α΄
δίαιτα, ης ἡ Ζ α΄
διακόσιοι, αι, α ΣΤ γ΄
διατρίβω ΙΑ β΄
δίαυλος, ου ὁ Η β΄
διαφέρω Ε α΄
διαφεύγω ΙΒ β΄
διαφθείρομαι Ζ α΄
διδάσκαλος, ου ὁ ΣΤ α΄
διδάσκω ΣΤ α΄
δίδωμι (ἀόρ. ἔδωκα) Ι β΄
διηγέομαι -οῦμαι Η β΄
διότι ΣΤ α΄
διπλοῦς, οῦν Η β΄
δίσκος, ου ὁ Η β΄
δισχίλιοι, αι, α ΙΑ α΄
δίφρος, ου ὁ Ε α΄
διψάω -ῶ Ι α΄
διώκω ΙΒ β΄
δοκέω -ῶ ΙΒ α΄

δοῦλος, ου ὁ ΣΤ α′
δραχμή, ῆς ἡ Ι α′
δρέπανον, ου τό Θ α′
δροίτη, ης ἡ Ι β′
δρόμος, ου ὁ Η β′
δρόσος, ου ἡ Ζ α′
δύο Ε β′
δωμάτιον, ου τό Ε α′
δῶρον, ου τό Ι α′

Ε

ἑβδομήκοντα ΣΤ γ′
ἐγγύς Γ α′
ἐγώ Α β′
ἐθέλω [θέλω] ΣΤ β′
εἰ Δ β′
εἴκοσι(ν) Ε β′
εἰμί Α β′
εἰς Δ α′
εἷς, μία, ἕν Ε β′
εἰσβαίνω ΙΒ α′
εἰσβάλλω Ι β′
εἰσέρχομαι Ι β′
εἴσοδος, ου ἡ Η α′
εἶτα Ε β′
ἐκ [ἐξ] Γ α′
ἕκαστος, η, ον Ζ β′
ἑκάτερος, α, ον ΣΤ γ′
ἑκατόν ΣΤ γ′
ἐκβαίνω ΙΒ α′
ἐκεῖσε Δ β′
ἐκτός Δ α′
ἐλαία, ας ἡ Γ β′
ἔλαιον, ου τό Γ β′
ἐλαύνω Θ α′
ἐλάχιστος, η, ον [ὑπερθ. ἐλαχύς : μικρός] ΙΑ β′
ἐλευθερόω -ῶ ΙΒ β′
ἕλκω Ε α′
ἐμβάλλω Θ α′
ἐμπίπτω Ι α′
ἔμπορος, ον ΙΒ α′
ἐν Α β′
ἐνακόσιοι, αι, α ΣΤ γ′
ἐναντίον Ε α′
ἔνδον Ε α′
ἐνδύομαι Ζ α′
ἔνειμι [ἐν-εἰμί] Ε β′
ἐνενήκοντα ΣΤ γ′
ἐνίοτε ΣΤ α′
ἐννέα Ε β′
ἐνταῦθα Γ α′
ἐντός Δ α′
ἕξ Ε β′
ἐξαγγέλλω ΙΒ β′
ἑξακόσιοι, αι, α ΣΤ γ′
ἐξανάγομαι ΙΒ β′
ἐξέρχομαι Ι β′
ἑξήκοντα ΣΤ γ′
ἐξυπνίζομαι Ζ α′
ἔξω Ε α′
ἑορτή, ῆς ἡ Η α′
ἐπειδή Β α′
ἔπειτα Δ α′
ἐπέρχομαι ΙΑ α′

ἐπί Γ β'
ἐπιβαίνω ΙΒ α'
ἐπιθυμέω -ῶ ΙΒ α'
ἐπίσημος, ον ΙΒ β'
ἐπιστολή, ῆς ἡ ΙΑ β'
ἔπροσθεν ΣΤ γ'
ἑπτά Ε β'
ἑπτακόσιοι, αι, α ΣΤ γ'
ἐπῳδή, ῆς ἡ Ζ α'
ἐπᾴζω Δ β'
ἐργάτης, ου ὁ Θ α'
ἔργον, ου τό ΣΤ α'
ἔρρωσο, ἔρρωσθε Α β'
ἔρχομαι (ἀόρ. ἦλθον) Ζ α'
ἐρωτάω -ῶ Β α'
ἐσθίω (ἀόρ. ἐφαγον) Γ β'
ἑσπέρα, ας ἡ Ε β'
ἑστίασις, εως ἡ Η β'
ἔτι ΙΒ β'
ἕτοιμος, η, ον ΙΒ α'
ἔτος, ους τό Η β'
εὖ ΣΤ β'
εὐανδρία, ας ἡ Η β'
εὐδοκιμέω -ῶ ΙΒ β'
εὐθύς Δ α'
εὑρίσκω (ἀόρ. ηὗρον) Ζ α'
εὔχομαι Ζ α'
ἑφθός, ή, όν Δ α'
ἔχω Β α'
ἕψω Δ α'

Ζ

ζητέω -ῶ Δ α'
ζῷον, ου τό Γ β'

Η

ἤ Ε α'
ἤδη Δ β'
ἥδομαι Ζ α'
ἥλιος, ου ὁ ΣΤ β'
ἡμεῖς Α β'
ἡμέρα, ας ἡ Δ α'
ἥμερος, α, ον Γ β'
ἡμέτερος, α, ον Β β'
ἡμίονος, ου ὁ Ε α'
ἤπειρος, ου ἡ ΙΒ β'

Θ

θάλαττα, ης ἡ Η α'
θαρρέω -ῶ Θ β'
θαυμάζω Ι α'
θαυμασιώτατος, η, ον [ὑπερθ. θαυμάσιος, α, ον] Ι α'
θεάομαι -ῶμαι ΙΒ β'
θέατρον, ου τό Η α'
θεός, οῦ ὁ, ἡ Ζ α'
θερίζω Θ α'
θεριστής, οῦ ὁ Θ α'
θερμός, ή, όν Δ β'
θέρος, ους τό Ε α'
θόρυβος, ου ὁ ΙΒ β'
θώραξ, ακος ὁ Ζ β'

Ι

ἰάομαι Ζ α′
ἰατρός, οῦ ὁ Ζ α′
ἱερεύς, έως ὁ Η β′
ἱερόν, οῦ τό Η α′
ἱμάς, ἱμάντος ὁ Η β′
ἱππικός, ή, όν Η β′
ἵππιος, α, ον Η β′
ἵππος, ου ὁ Ε α′
ἶρις, ιδος ἡ Ζ β′
ἵστημι (ἀόρ. ἕστηκα) Ι β′
ἴσως Ε α′

Κ

καθαίρω Ζ α′
καθεύδω Ε α′
καθίζω Δ β′
καί Α β′
καιρός, οῦ ὁ ΙΒ β′
καίω (ἀόρ. ἔκαυσα) Θ α′
κακός, ή, όν ΣΤ α′
κάλαμος, ου ὁ ΣΤ α′
καλέομαι –οῦμαι Ζ β′
καλιά, ᾶς ἡ Δ α′
κάλλιστος, η, ον [ὑπερθ. καλός, ή, όν] Η α′
καλῶς ΣΤ α′
καμπύλος, η, ον Ι α′
κάνεον, ου [κανοῦν, οῦ] τό ΙΒ α′
κανήφορος, ον Η β′
καρδία, ας ἡ Ζ β′
καρπός, οῦ ὁ Γ β′
καρποφόρος, ον Γ β′
κάρυον, ου τό Ι α′
κατά Δ α′
καταβαίνω Δ β′
καταβάλλω Η β′
καταδύω ΙΒ α′
κατακαίω ΙΑ β′
καταλείπω Ι α′
καταπλέω ΙΒ β′
κατάρατος, ον Ι α′
καταστρέφω, -ομαι ΙΒ β′
κατατέμνω Θ α′
κατατίθημι ΙΒ α′
κατέρχομαι ΙΑ α′
κάτω ΣΤ γ′
κάτωθεν Δ β′
κεκλημένος, η, ον [κλείω] Ε α′
κελεύω Ι α′
κέρας, κέρως τό Η β′
κεφαλή, ῆς ἡ ΣΤ γ′
κῆπος, ου ὁ Γ β′
κιθαρίζω Η β′
κιθαρῳδός, οῦ ὁ Η β′
κλάδος, ου ὁ Δ β′
κλαίω Ζ α′
κλέπτης, ου ὁ Ι β′
κλῄω [κλείω] ΙΒ β′
κλίνη, ης ἡ Ε α′
κλώζω Δ α′
κοΐζω Θ α′
κοῖλον, ου τό Ι β′
κοιμάω -ῶ Ζ α′

κόκκος, ου ὁ Ι β'
κόλπος, ου ὁ Ζ α'
κόμη, ης ἡ ΣΤ γ'
κοπάζω ΙΒ α'
κορυφή, ῆς ἡ Ζ β'
κοσμέω -ῶ Ζ α'
κόσμος, ου ὁ Θ α'
κρέας, κρέως τό ΙΒ α'
κριθή, ῆς ἡ Θ α'
κυβερνάω -ῶ ΙΒ α'
κυβερνήτης, ου ὁ ΙΒ α'
κυκλόω -ῶ ΙΒ β'
κύριος, α, ον Η α'
κώμη, ης ἡ Ε α'
κωμητής, οῦ ὁ Ε α'

Λ

λαλέω -ῶ Ε β'
λαμβάνω (ἀόρ. ἔλαβον) Δ α'
λαμπαδηδρομία, ας ἡ Η β'
λαμπαδηφορία, ας ἡ Η β'
λαμπάς, άδος ἡ Η β'
λαμπρός, ά, όν Η α'
λάμπω Θ β'
λάχανον, ου τό Γ β'
λεαίνω ΣΤ α'
λέγω (ἀορ. εἶπον, ἔλεξα) Β α'
λείψανον, ου τό Θ α'
λεκάνη, ης ἡ Ε β'
λευκός, ή, όν Δ α'
λίαν ΙΑ β'
λιμήν, ένος ὁ ΙΒ α'
λιχανός, οῦ ὁ Ζ β'
λοιπός, ή, όν Θ α'
λούω Ζ α'
λόφος, ου ὁ Γ α'
λύκος, ου ὁ Ζ α'

Μ

μᾶζα, ης ἡ Ε β'
μακέλη, ης ἡ Θ α'
μάλθα, ης ἡ ΣΤ α'
μάλιστα [ὑπερθ. μάλα] Γ α'
μᾶλλον [συγκ. μάλα] Γ α'
μάμμη, ης ἡ Β β'
μανθάνω (ἀόρ. ἔμαθον) ΣΤ α'
μαστός, οῦ ὁ Ζ β'
μάχαιρα, ας ἡ ΙΒ α'
μάχη, ης ἡ ΙΑ α'
μάχομαι Η β'
μέγας, μεγάλη, μέγα Γ α'
μέγιστος, η, ον[ὑπερθ. μέγας] ΣΤ β'
μέλλω ΙΒ β'
μέν Β α'
μέντοι Γ α'
μένω ΣΤ β'
μέρος, ους τό Ζ β'
μεσημβρία, ας ἡ Ε β'
μέσος, η, ον Γ α'
μετά Δ α'
μεταξύ Ι β'
μεταχειρίζω ΙΒ α'
μετέωρα, ων τά Θ β'
μέτωπον, ου τό ΣΤ γ'

Ν

Ξ

Ο

ὅλος, η, ον Ι β′
ὁμαλός, ή, όν Γ α′
Ὁμηρικός, ή, όν ΣΤ β′
ὅμοιος, α, ον Ε α′
ὁμοίως Δ α′
ὁμοῦ Β β′
ὄνομα, ατος τό Α β′
ὀνομάζω Β α′
ὄνος, ου ὁ Ε α′
ὄπισθεν ΣΤ γ′
ὁπλίτης, ου ὁ Η β′
ὁπλιτοδρόμος Η β′
ὅπλον, ου τό Η β′
ὁπόσος, η, ον Ε β′
ὀπτάω -ῶ ΙΒ α′
ὁράω -ῶ (ἀόρ. εἶδον) Δ β′
ὄργανον, ου τό ΣΤ γ′
ὅρμος, ου ὁ ΙΒ α′
ὀρνίθιον, ου τό Δ α′
ὀροφή, ῆς ἡ Η α′
ὀρρωδία, ας ἡ ΙΒ β′
ὀρύττω Θ α′
ὅς, ἥ, ὅ Β β′
ὅσος, η, ον Ε α′
ὅσπερ, ἥπερ, ὅπερ Γ β′
ὀσφραίνομαι Ζ β′
ὄσφρησις, εως ἡ Ζ β′
ὅταν ΙΒ α′
ὅτι Β β′
οὐ [οὐκ, οὐχ] Α β′
οὐδείς, οὐδεμία, οὐδέν Ε β′
οὐδέποτε ΣΤ α′
οὖν Β α′
οὐρανός, οῦ ὁ Θ β′
οὔριος, α, ον ΙΒ α′
οὖς, ὠτός τό ΣΤ γ′
οὗτος, αὕτη, τοῦτο Α β′, Γ β′
οὕτως Β α′
οὐχί Α β′
ὀφθαλμός, οῦ ὁ ΣΤ β′
ὀφρῦς, ύος ἡ Ζ β′
ὄχλος, ου ὁ Η β′
ὄψις, εως ἡ ΣΤ γ′

Π

παγκρατιαστής, οῦ ὁ Η β′
παγκράτιον, ου τό Η β′
παιδαγωγός, οῦ ὁ ΣΤ α′
παιδίον, ου τό Β α′
παῖς, παιδός ὁ, ἡ Η β′
παίω ΣΤ α′
πάλαι ΙΑ α′
παλαιστής, οῦ ὁ Η β′
παλαίω Η β′
πάλη, ης ἡ Η β′
πάλιν ΙΑ β′
παννυχίς, ίδος ἡ Η β′
πανταχοῦ ΙΑ α′
πάπυρος, ου ἡ ΣΤ α′
παρά ΣΤ α′
παρακαλέω -ῶ ΙΑ β′
παράμεσος, ου ὁ Ζ β′
παραμύθιον, ου τό Ζ α′
παραπλέω ΙΒ β′
παρασκευάζω ΙΑ α′

πάρειμι [παρά-εἰμί] ΣΤ β′
παρέχω Δ α′
πᾶς, πᾶσα, πᾶν Η β′
πάσχω (ἀόρ. ἔπαθον) Ζ α′
πατήρ, πατρός ὁ Β α′
πατρίς, ίδος ἡ ΙΒ β′
παύω Η β′
πέδιλον, ου τό Ζ α′
πεδίον, ου τό Η α′
πεζῇ ΙΒ β′
πεζός, ή, όν ΙΒ β′
πείθω, -ομαι ΙΒ β′
πεινάω -ῶ Ι α′
πέμπτος, η, ον Η β′
πέμπω Η β′
πένταθλον, ου τό Η β′
πεντακόσιοι, αι, α ΣΤ γ′
πέντε Ε β′
πεντήκοντα ΣΤ γ′
περί Γ α′
περιειλίττω Η β′
περιέχω Γ α′
περιπατέω -ῶ Δ β′
περιπέμπω ΙΒ β′
πέτασος, ου ὁ Ι β′
πέτρα, ας ἡ Ζ α′
πήγνυμι (ἀόρ. ἔπηξα) ΙΒ α′
πῆχυς, εος ὁ Ζ β′
πιέζω Ι β′
πίθηκος, ου ὁ Ι β′
πινακίον, ου τό ΣΤ α′
πίναξ, ακος ὁ ΙΒ α′
πίνω [ἀόρ. ἔπιον] Ε α′
πλέον (ἐπίρρ. συγκ. πολύς) Η β′
πλέω (ἀόρ. ἔπλευσα) ΙΒ α′
πληγή, ῆς ἡ ΣΤ α′
πλῆθος, ους τό ΙΒ β′
πλήν ΙΑ α′
πληττόμενος, η, ον Ζ α′
πλοῖον, ου τό ΙΒ α′
πλούσιος, α, ον Ε α′
πλουτέω -ῶ ΙΒ α′
πνεύμων, ονος ὁ Ζ β′
πνέω -ῶ Θ β′
πόθεν ΣΤ β′
ποιέω -ῶ Γ β′
ποιητής, οῦ ὁ ΣΤ β′
ποῖος, α, ον Ε β′
πολέμιος, α, ον ΙΑ α′
πόλεμος, ου ὁ ΙΑ α′
πολίτης, ου ὁ ΙΑ α′
πολλάκις ΣΤ α′
πολύς, πολλή, πολύ Δ β′
πομπή, ῆς ἡ Η α′
πορεύομαι Ζ α′
πορθμός, οῦ ὁ ΙΒ β′
ποταμός, οῦ ὁ Θ β′
πότερον Δ β′
ποτήριον, ου τό Ε β′
ποτόν, οῦ τό Ι α′
ποῦ Α β′
πού Δ β′
πούς, ποδός ὁ Ζ α′
πράγμα, ατος τό ΙΒ β′
πράσινος, η, ον Ι α′
πρέσβυς, εως ὁ ΙΑ β′

πρίν ΙΑ β′
πρό Ε β′
πρόβατον, ου τό Θ α′
πρόγονος, ον ΙΒ β′
πρόδομος, ου ὁ Ε α′
πρός ΣΤ β′
προσέχω Ζ α′
προσφέρω Η β′
πρότερον Ι β′
πρύμνα, ης ἡ ΙΒ β′
πρῴ Ε β′
πρῶτος, η, ον Ε β′
πρῶτον (ἐπίρρ.) Δ α′
πτέρον, ου τό Δ α′
πτύω Ζ α′
πύγμαχος, ου ὁ Η β′
πυγμή, ῆς ἡ Η β′
πύελος, ου ἡ Θ α′
πύκτης, ου ὁ Η β′
πύλη, ης ἡ Ε α′
πυνθάνομαι (ἀόρ. ἐπυθόμην) ΙΒ β′
πύξ Η β′
πῦρ, πυρός τό ΙΒ α′
πυρριχή, ῆς ἡ Η β′
πυρριχιστής, οῦ ὁ Η β′
πωλέω -ῶ Ε α′
πωλητής, οῦ ὁ Ε α′
πῶμα, ατος τό Ζ α′

Ρ

ῥᾴδιος, α, ον ΣΤ β′
ῥᾳδίως Η β′
ῥάχις, εως ἡ ΙΒ α′
ῥαψῳδέω -ῶ ΣΤ β′
ῥαψῳδός, οῦ ὁ ΣΤ β′
ῥέω Θ β′
ῥίς, ῥινός ἡ ΣΤ γ′
ῥυγχίον, ου τό Δ β′

Σ

σελήνη, ης ἡ Θ β′
σιγάω -ῶ ΙΒ α′
σιδηροῦς, ᾶ, οῦν Θ α′
σιτίον, ου τό ΣΤ β′
σῖτος, ου ὁ Θ α′
σκάπτω Θ α′
σκάφη, ης ἡ Ι β′
σκέλος, ους τό Ζ β′
σκῆπτρον, ου τό ΣΤ β′
σκοπέω -ῶ Δ β′
σκυθρωπός, όν ΙΒ α′
σοφία, ας ἡ Θ β′
σπάργανον, ου τό Ι β′
σπείρω Θ α′
στάδιον, ου τό Η α′
σταφυλή, ῆς ἡ Γ β′
στέγη, ης ἡ Ε α′
στῆθος, ους τό ΣΤ γ′
στίχος, ου ὁ ΣΤ β′
στρατεύω ΙΒ β′
στρατηγός, οῦ ὁ ΙΒ β′
στρατός, οῦ ὁ ΙΒ β′
στρέφω Η β′
στρογγύλος, η, ον Δ α′

στῦλος, ου ὁ ΣΤ α′
σύ Α β′
συκῆ, ῆς ἡ Γ β′
σῦκον, ου τό Γ β′
συλλέγω Θ α′
συμβουλεύω ΙΑ β′
σύμμαχος, ον ΙΑ α′
σύν ΙΒ β′
συνθραύω Ι β′
σύνοπτος, ον Η α′
συντρέχω Θ β′
σῦς, συός ὁ, ἡ ΙΒ α′
σφάζω Η α′
σφαίρα, ας ἡ Η β′
σχεδόν ΙΑ α′
σῶμα, ατος τό ΣΤ γ′

Τ

τᾶν ΙΒ α′
τάξις, εως ἡ ΙΒ β′
τάττω ΙΒ β′
ταχέως ΙΒ α′
τε Β β′
τείνομαι Ζ β′
τεῖχος, ους τό Η α′
τέκνον, ου τό Β α′
τελευτάω -ῶ Θ α′
τέμνω (ἀόρ. ἔτεμον) ΙΒ α′
τέρμα, ατος τό Η β′
τετρακόσιοι, αι, α ΣΤ γ′
τετταράκοντα ΣΤ γ′
τέτταρες, α Ε β′
τέττιξ, ιγγος ὁ Ζ α′
τήμερον ΣΤ β′
τίθημι (ἀόρ. ἔθηκα) Ι β′
τίκτω (ἀόρ. ἔτεκον) Δ α′
τίς, τί Α β′
τοῖχος, ου ὁ Ε α′
τομή, ῆς ἡ Ζ β′
τόπος, ου ὁ Β β′
τράπεζα, ης ἡ Ε α′
τραῦμα, ατος τό Ζ α′
τράχηλος, ου ὁ ΣΤ γ′
τρεῖς, τρία Ε β′
τρέπω (ἀόρ, ἔτραπον, ἔτρεψα) ΙΒ β′
τρέφω [ἀόρ. ἔθρεψα] Β β′
τρέχω (ἀόρ. ἔδραμον) Η β′
τριάκοντα ΣΤ γ′
τριακόσιοι, αι, α ΣΤ γ′
τριήραρχος, ου ὁ ΙΒ β′
τρίς Ε β′
τρίτος, η, ον Ε β′
τρόπος, ου ὁ Δ β′
τροφή, ῆς ἡ Δ α′
τροφός, οῦ ἡ Β β′
τρώγω Θ α′
τυγχάνω (ἀόρ. ἔτυχον) ΙΒ β′
τυραννίς, ίδος ἡ ΙΒ β′
τύραννος, ου ὁ ΙΑ β′
τυφλός, ή, όν ΣΤ β′
τύχη, ης ἡ Θ β′

Υ

ὑγίεια, ας ἡ Ζ α′
ὕδωρ, ὕδατος τό Ζ α′
ὑετός, οῦ ὁ Θ β′
ὕλη, ης ἡ Δ β′
ὑμεῖς Α β′
ὑπέρ ΙΒ α′
ὕπνος, ου ὁ Ζ α′
ὑπό ΣΤ α′
ὕπτιος, α, ον Ι β′
ὕστατος, η, ον Η β′
ὑστεραῖος, α, ον Δ α′
ὑψηλός, ή, όν Γ α′
ὕψος, ους τό Η α′
ὕω Θ β′

Φ

φαίνομαι (ἀόρ. ἐφηνάμην) Η α′
φανερός, ά, όν Η α′
φανερῶς ΙΑ β′
φάρμακον, ου τό Ζ α′
φάρυγξ, υγγος ἡ Ζ β′
φέγγω Θ β′
φέρω (ἀόρ. ἤνεγκον) Γ β′, Δ α′
φεῦ Ι α′
φεύγω (ἀόρ. ἔφυγον) Ζ α′
φημί (ἀόρ. ἔφην, ἔφησα) ΙΒ β′
φθονέω -ῶ ΙΑ β′
φθόνος, ου ὁ Ζ α′
φιλέω -ῶ Θ β′
φίλος, ου ὁ Β β′, Θ β′
φιλόσοφος, ου ὁ Θ β′
φλέγω Η β′
φοβερός, ά, όν Θ β′
φοβέω -ῶ ΙΑ β′
φόβος, ου ὁ Θ β′
φοιτάω -ῶ Η α′
φρύγανον, ου τό Θ α′
φυλάττω Θ α′
φυτεύω Γ β′
φυτόν, οῦ τό Γ β′
φύω Δ β′
φωνή, ῆς ἡ Ε α′

Χ

χαῖρε, χαίρετε Α β′
χαλεπός, ή, όν ΣΤ β′
χαμαί Ι β′
χεῖλος, ους τό Ζ β′
χείρ, χειρός ἡ ΣΤ γ′
χέω Ζ α′
χθές Θ β′
χίλιοι, αι, α ΣΤ γ′
χιτών, ῶνος ὁ Ζ α′
χλαῖνα, ης ἡ Ι β′
χοῖρος, ου ὁ Θ α′
χορεύω Η α′
χορός, οῦ ὁ Η β′
χρόνος, ου ὁ Δ α′
χωρίον, ου τό Β α′

Ψ

ψιττακός, οῦ ὁ Ι α′
ψυχρός, ά, όν Δ β′

Ω

ὦ Α β′
ὦμος, ου ὁ ΣΤ γ′
ᾠόν, οῦ τό Δ α′
ὡς Γ α′
ὥσπερ Γ β′
ὥστε Δ β′
ὠχρός, ά, όν Δ α′

ΟΝΟΜΑΤΑ

Α

Ἀθῆναι, ῶν αἱ Α β′
Ἀθηναῖος, α, ον ΙΑ β′
Ἀθήνη, ης ἡ Η α′
Αἴγινα, ης ἡ ΙΑ α′
Αἰγινήτης, ου ὁ ΙΒ β′
Αἰγύπτιος, α, ον Ι β′
Αἴγυπτος, ου ὁ Ι β′
Ἀκρόπολις, εως ἡ Η α′
Ἀλέξανδρος, ου ὁ Λ β′
Ἁλικαρνασσός, οῦ ἡ ΙΒ β′
Ἀμεινίας, ου ὁ ΙΒ β′
Ἀπεννῖνοι, ων οἱ Γ α′
Ἀρτεμισία, ας ἡ ΙΒ β′
Ἀσία, ας ἡ ΙΑ α′
Ἀττική, ῆς, ἡ ΙΑ α′
Ἀχαρναί, ῶν αἱ Η α′

Β

Βοιωτία, ας ἡ ΙΑ α′
Βοιωτός, οῦ ὁ ΙΑ α′
Βυζάντιον, ου τό ΙΒ α′

Δ

Δαρεῖος, ου ὁ ΙΑ α′
Δημόκριτος, ου ὁ Θ β′
Διονύσια, ων τά Η α′

Ε

Ἑλβετία, ας ἡ Γ α′
Ἑλένη, ης ἡ Α β′
Ἑλλάς, άδος ἡ ΙΒ β′
Ἕλλην, ηνος ὁ ΙΒ β′
Ἑλληνικός, ή, όν Β α′
Ἑλληνίς, ίδος ἡ ΙΒ β′
Ἐρέχθειον, ου τό Η α′
Εὐρυδίκη, ης ἡ Β α′

Η

Ἡράκλειτος, ου ὁ Θ β′
Ἡρόδικος, ου ὁ Ζ α′

Θ


Θεμιστοκλῆς, έους ὁ ΙΑ β′
Θερμοπύλαι, ῶν αἱ ΙΒ β′

Ι

Ἰβηρία, ας ἡ Γ α′
Ἰταλία, ας ἡ Γ α′

Λ

Λακεδαιμόνιος, α, ον ΙΑ β′
Λεωνίδας, ου ὁ ΙΒ β′
Λόφος Λευκός, ου ὁ Γ α′



ΤΑ ΝΟΜΙΣΜΑΤΑ

Ἐν τῇ Ἀττικῇ ἔχομεν ἀργυρὰ νομίσματα, οὐ χρυσᾶ οὐδὲ χαλκά. Τὸ μὲν τάλαντον οὔκ ἐστι νόμισμα, ἀλλὰ βάρος τι ἀργυρίου, ὃ ἔχει ἑξήκοντα μνᾶς· ἡ δὲ μνᾶ ἔχει δραχμὰς ἑκατόν.

Ἡ δὲ δραχμή ἐστι ἤδη νόμισμα, καὶ δὴ καὶ ἔχομεν δίδραχμα καὶ τετράδραχμα καὶ δεκάδραχμα· τὸ μὲν δίδραχμον ἔχει δύο δραχμὰς, τὸ δὲ τετράδραχμον τέτταρες δραχμὰς, τὸ δὲ δεκάδραχμον δέκα δραχμάς. Ἡ δὲ δραχμὴ ἔχει ἕξ ὀβολούς· ἔχομεν δὲ καὶ τὸ διώβολον καὶ τὸ τριώβολον.

Ἔστι μὴν χαρακτὴρ ἐπὶ τῆς δραχμῆς· ἑτέρωθεν μὲν ἡ κεφαλὴ τῆς Ἀθήνης, ἑτέρωθεν δὲ γλαῦξ, ἥ ἐστιν ἱερὰ τῇ Ἀθήνῃ, καὶ ὑπὲρ τῆς γλαυκὸς φύλλον ἐλαίας.

Ταῦτ' ἐστὶ τὰ νομίσματα τὰ Ἀθηναῖα. Καὶ τὴν μὲν Ἀθηναίαν δραχμὴν «γλαῦκα» ὀνομάζομεν, τὴν δ' Αἰγιναίαν «χελώνην», τὴν δὲ Κορινθίαν «ἵππον»· ἑκάστην κατὰ τὸν χαρακτῆρα.





Ο ΤΡΑΠΕΖΙΤΗΣ

Ὁ Πασίων τραπεζίτης ἐστὶν ἐν Συρακούσαις· ἔχει δὲ τὴν τράπεζαν ἐν τῇ ἀγορᾷ. Δανείζει δ' ὁ τραπεζίτης ἐπὶ τόκῳ. Δανείζει δ' ὁ τραπεζίστης ἐπὶ τόκῳ· δανείζεται μὲν γὰρ ἄνθρωπός τις, λαμβάνει δὲ τὰ χρήματα, φέρει δ' αὐτῷ καὶ τὰ χρήματα καὶ τὸν τόκον. Φέρει γὰρ ταῦτα ἢ τοῦ μηνὸς ἢ μετὰ τὸν πλοῦν. Ὁ δὲ τόκος γίγνεται εἷς ὀβολὸς τῆς μνᾶς τοῦ μηνός.

ΠΑΣΙΩΝ ΖΗΝΟΘΕΜΙΣ ΗΓΕΣΤΡΑΤΟΣ

Ζην.· Χαῖρε, ὦ Πασίων.

Πασ.· Χαῖρε καὶ σύ, ὦ ἄριστε· σὺ δὲ τίς εἶ, καὶ τί θέλεις;

Ζην.· Ζηνόθεμις μὲν ἔγωγε, ἀνὴρ Ἀθηναῖος· πλέω δ' Ἀθήναζε καί εἰμι ἐπιβάτης ἐπὶ τοῦ πλοίου τοῦ Ἡγεστράτου. Θέλω δανείζεσθαι πεντακοσίας δραχμάς.

Πασ.· Ἔχω τὸ ἀργύριον, καὶ δανείζω ἐπὶ πέντε ὀβολοῖς· ἀλλὰ τίς ἐστι ἐγγυητής σοι;

Ζην.· Τίς ἐστι ἐγγυητής μοι; ἰδού· ὁ ναύκληρος ουτοσί. Ἐλθὲ δεῦρο, ὦ Ἡγέστρατε.

Ἡγ.· Δεῦρο πάρειμι· τί θέλεις;

Πασ.· Ἆρ' ἔχει οὐσίαν οὗτος ὁ Ζηνόθεμις;

Ἡγ.· Νὴ τὸν Δία, καὶ πολλήν γε· ἔνεστι γὰρ πολὺς σῖτος ἐν τῷ πλοίῳ.

Πασ.· Εὖ γε· πρὸς ταῦτά σοι δανείζω ἐπὶ πέντε ὀβολοῖς.

Ζην.· Ὁμολογῶ δὴ ἐπὶ τούτοις· γράφε τὰς συγγραφάς.

Πασ.· Γράφω.

ΦΙΛΩΝ ΗΓΕΣΤΡΑΤΟΣ ΖΗΝΟΘΕΜΙΣ

Ἡγ.· Χαῖρε· ἆρ' ἐστὶ τράπεζα αὕτη;

Φιλ.· Ἔστι. Τίς δ' εἶ σύ, καὶ πόθεν;

Ἡγ.· Ξένος δή εἰμι, καὶ ναύκληρος τῆς Ναυκλείας, πλέω δ' Ἀθήναζε. Θέλω δανείζεσθαι χιλίας δραχμάς.

Φιλ.· Ἀλλ' οὐ γάρ σε γιγνώσκω, ὦ ξένε.

Ἡγ.· Ἰδού· ἔρχεται ὁ Ζηνόθεμις, ὅς ἐστιν ἐπιβάτης τοῦ πλοίου.

Φιλ.· Χαῖρε, ὦ Ζηνόθεμι· τίς οὗτος;

Ζην.· Οὗτός ἐστι ναύκληρος τῆς Ναυκλείας, ἔχει δὲ πολὺν σῖτον ἐν τῷ πλοίῳ.

Φιλ.· Δανείζω οὖν σοι τὰς χιλίας δραχμὰς ἐπὶ πέντε ὀβολοῖς.

Ἡγ.· Ἐπὶ τούτοις ὁμολογῶ· γράφε οὖν τὰς συγγραφάς.

Φιλ.· Γράφω δή.

ΕΞΩ

Ἡγ.· Χάριν σοι ἔχω, ὦ φίλτατε Ζηνόθεμι.

Ζην.· Καὶ ἐγὼ σοί, ὦ Ἡγέστρατε.




ΣΗΜΕΙΑ - NOTAE

=	idem atque	κεφ.	κεφάλαιον / capitulum
:	id est	κλη.	κλητική / vocātīvus
↔	contrārium	μέλ.	μέλλων / futūrum
<	factum est	μετ.	μετοχή / participium
αἰτ.	αἰτιατική / accūsātīvus	ὀνομ.	ὀνομαστική / nōminātīvus
ἀλ.	ἀληθῶς / vērum	οὐδ.	οὐδέτερον / neutrum
ἀόρ.	ἀόριστος / aoristos	παθ.	παθητική / passīvum
ἀρσ.	ἀρσενικόν / masculīnum	παρακ.	παρακείμενος / perfectum
γεν.	γενική / genetīvus	παρατ.	παρατατικός / imperfectum
δοτ.	δοτική / datīvus	πληθ.	πληθυντικός / plūrālis
ἐνεργ.	ἐνεργητική / āctīvum	συγκ.	συγκριτικόν / comparātivus
ἐνεσ.	ἐνεστώς / praesēns	ὑπερθ.	ὑπερθετικόν / superlātivus
ἑνικ.	ἑνικός / singulāris	ὑποτ.	ὑποτακτική / coniūnctīvus
θηλ.	θηλυκόν / fēminīnum	ψευ.	ψευδῶς / falsum



Cultura Clásica

www.culturaclasica.es


ISBN 978-84-935798-7-6

9 788493 579876